αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ· τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι, πολλάκις ἐκ βόθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ. —
3 Ἑρμ. Οὕτω μὲν ταῦτα ἔσται. Ἡμεῖς δὲ καταβάντες ἤδη, καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὄρη, ἀπαλλαττώμεθα, ἐγὼ μὲν, καθὰ ἐστάλην, σὺ δὲ ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι μετ'
4 ὀλίγον καὶ αὐτὸς νεκροστολῶν. — Χάρ. Εὖγε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἐς ἀεὶ ἀναγεγράψῃ. Ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας. . . . οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα· [βασιλεῖς, πλίνθοι χρυσαῖ, ἑκατόμβαι, μάχαι·] Χάρωνος δὲ, οὐδεὶς λόγος.

## Ζ. ΠΛΟΙΟΝ Η ΕΥΧΑΙ. (*)

Λυκῖνος, Τιμόλαος, Σάμιππος, καὶ Ἀδείμαντος.

ά. Λυκ. Οὐκ ἐγὼ 'λεγον ὅτι θᾶττον τοὺς γῦπας ἕωλος νεκρὸς ἐν φανερῷ κείμενος, ἢ θέαμά τι τῶν παραδόξων Τιμόλαον διαλάθοι, κἂν ἐς Κόρινθον δέοι, ἀπνευστὶ θέοντα ἀπιέναι διὰ τοῦ-
2 το; οὕτω φιλοθεάμων σύ γε καὶ ἄοκνος τὰ τοιαῦτα. — Τιμ. Τί γὰρ ἔδει καὶ ποιεῖν, ὦ Λυκῖνε, σχολὴν ἄγοντα, πυθόμενον οὕτως ὑπερμεγέθη ναῦν, καὶ πέρα τοῦ μέτρου ἐς τὸν Πειραιᾶ κατα-
3 πεπλευκέναι, μίαν τῶν ἀπ' Αἰγύπτου εἰς Ἰταλίαν σιταγωγῶν; οἶμαι δὲ καὶ σφὼ, σέ τε καὶ Σάμιππον τουτονὶ, μὴ κατ' ἄλλο τι ἐξ ἄστεος ἥκειν, ἢ ὀψομένους τὸ πλοῖον. — Λυκ. Νὴ Δία,

---

τὴν κρίσιν τοῦτ' ἔστι τῶν νικησάντων εἶναι τὸ χωρίον. Τῶν δ' ἑξακοσίων μαχεσαμένων τὴν ἡμέραν πᾶσαν, κατελείφθησαν τρεῖς· Ἀλκήνωρ, καὶ Χρόμιος, Ἀργεῖοι· οἳ ὡς νικήσαντες ἦλθον εἰς Ἄργος. Ὀθρυάδης δὲ, Λακεδαιμόνιος· ὃς σκυλεύσας Ἀργείων τοὺς νεκροὺς, ἔστη ἐν τῇ τάξει. Ἔριδος δὲ ἐκ τούτου γενομένης, ὁπότεροι νικήσειαν, εἰς μάχην ἦλθον, καὶ ἐνίκησαν Λακεδαιμόνιοι. Ὀθρυάδης δὲ κατεχρήσατο ἑαυτὸν ἐν Θυρέαις, αἰσχρὸν εἶναι κρίνων μὴ συνταφῆναι τοῖς ἑτέροις ἐκεῖ πεσοῦσιν. Ἡροδ. Κλει. πβ'. — Ἐπιγράφ.) Ἐπέγραψε δὲ, Διὶ τροπαιούχῳ.

2. Κτήσωντ.) Τὸ δὲ πληθυντικὸν πρὸς τὸ σημαινόμενον· τὸ γὰρ Ἕκαστος πολλοὺς καθ' ἕνα δηλοῖ.

3. Νεκροστ.) Ὁ γὰρ Ἑρμῆς ἦν ὁ εἰς Ἅδου πέμπων τὰς ψυχὰς τῶν νεκρῶν.

4. Ἀναγεγρ.) Ἀναγράφω, τὸ παρ' ἡμῖν Γράφω εἰς τὸ κατάστιχον ὡς εὐεργέτην παντοτεινόν. Τοῦτο δὲ ἐλήφθη ἐκ τοῦ Περσικοῦ ἔθους· οἱ γὰρ Περσῶν βασιλεῖς τοὺς εἴτι ὠφελοῦντας τῷ ἑαυτοῦ οἴκῳ φαινομένους, ἐν τῷ Κώδικι ἀνεγράφοντο εὐεργέτας· ὅθεν καὶ Ξέρξης πρὸς Παυσανίαν τὸν Λακεδαιμόνιον γράφων, ἔλεγε. Κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἀνάγραπτος. Θουκυδ. Α', ρλθ'. — Οὐδεὶς λόγ.) Ἐννοεῖται Ἐστί.

(*) Ὁ Διάλογος οὗτος ἐκλήθη Πλοῖον μὲν, διότι περί τινος πλοίου σιταγωγοῦ Αἰγυπτίου ὁ λόγος. Εὐχαὶ δὲ, διότι ἕκαστον τῶν τοῦ διαλόγου τούτου προσώπων ὑποτίθεται εὐχόμενον ὅ,τι κατὰ θυμὸν αὐτῷ εἴη ἔχειν· καὶ ὅ,τι ἔχων ἕκαστος, ἃ ηὔχετο, ποιήσειεν ἄν.

ά. Οὐκ ἐγὼ 'λεγον.) Κρᾶσις δὲ τοῦτο ἀντὶ τοῦ οὐκ ἐγὼ ἔλεγον. — Ὅτι θᾶττον τοὺς γύπ.) Ὀρνεά εἰσιν οἱ γῦπες σαρκοφάγα, ἀπὸ τῶν θνησιμαίων ζώων τρεφόμενα· ὅθεν, ἵνα δείξῃ τὴν Τιμολάου πρὸς τὰ θεάματα προθυμίαν, φησὶν ὅτι εὐχερέστερόν ἐστι διαλαθεῖν τοὺς γῦπας, εἴπου τις κεῖτο νεκρὸς ἕωλος ἐν φανερῷ ἢ Τιμόλαον, θέαμά τι τῶν παραδόξων λεγόμενόν που εἶναι· καὶ εἰς Κόρινθον δὲ, ἂν δέῃ, ἀπνευστὶ θέων ἄπεισι διὰ τὸ θέαμα τοῦτο.

2. Καὶ ποιεῖν) Ὁ Καὶ παρέλκει μὲν, σημαίνει δέ τινα ἑτοιμότητα. Καὶ σύνη-

καὶ Ἀδείμαντος ὁ Μυῤῥινούσιος εἵπετο μεθ' ἡμῶν. Ἀλλ' οὐκ οἶδ' 4
ὅπου νῦν ἐκεῖνός ἐστιν, ἀποπλανηθεὶς ἐν τῷ πλήθει τῶν θεατῶν.
Ἄχρι μὲν γὰρ τῆς νεὼς ἅμα ἤλθομεν, καὶ ἀνιόντες ἐς αὐτήν, 5
σὺ μέν, οἶμαι, Σάμιππε, προῄεις· μετὰ σὲ δὲ ὁ Ἀδείμαντος ἦν·
εἶτ' ἐγὼ μετ' ἐκεῖνον ἐχόμενος αὐτοῦ ἀμφοτέραις. Καί με διὰ 6
τῆς ἀποβάθρας ὅλης παρέπεμψε χειραγωγῶν, ὑποδεδεμένον, ἀ-
νυπόδητος αὐτὸς ὤν· τὸ ἀπὸ τούτου δὲ οὐκ ἔτι αὐτὸν εἶδον, οὔ-
τε ἔνδον, οὔτε ἐπεὶ κατεληλύθαμεν.

β'. Σάμ. Οἶσθα, ὦ Λυκῖνε, ὅπου ἡμᾶς ἀπέλειπεν; ὁπότε, οἶ-
μαι, τὸ ὡραῖον ἐκεῖνο μειράκιον ἐκ τῆς θαλάμης προῆλθε, τὸ
τὴν καθαρὰν ὀθόνην ἐνδεδυκός, ἀναδεδεμένον ἐς τοὐπίσω τὴν κό-
μην, ἐπ' ἀμφότερα τοῦ μετώπου ἀπηγμένην. Εἰ τοίνυν ἐγὼ Ἀ- 2
δείμαντον οἶδα, οἶμαι, γλαφυρὸν οὕτω ἐκεῖνος θέαμα ἰδών, μα-
κρὰ χαίρειν φράσας τῷ Αἰγυπτίῳ ναυπηγῷ, περιηγουμένῳ τὸ
πλοῖον, παρέστηκε δακρύων, ὥσπερ εἴωθε· ταχύδακρυς γὰρ ὁ
ἀνὴρ ἐς τὰ ἐρωτικά. — Λυκ. Καὶ μὴν οὐ πάνυ καλός, ὦ Σά- 3
μιππε, ὁ μειρακίσκος ἔδοξέ μοι, ὡς ἂν καὶ Ἀδείμαντον ἐκ-
πλῆξαι, ᾧ τοσοῦτοι Ἀθήνησι καλοὶ ἕπονται, πάντες ἐλεύθεροι,
στωμύλοι τὸ φθέγμα, παλαίστρας ἀποπνέοντες, οἷς καὶ παραδα-
κρῦσαι οὐκ ἀγεννές· οὗτος δὲ πρὸς τῷ μελάγχρους εἶναι, καὶ 4
πρόχειλός ἐστι, καὶ λεπτὸς ἄγαν τοῖν σκελοῖν, καὶ ἐφθέγγετο ἐ-
πισεσυρμένον τι, καὶ συνεχές, καὶ ἐπίτροχον, Ἑλληνιστὶ μέν,
ἐς τὸ πάτριον δὲ τῷ ψόφῳ, καὶ τῷ τῆς φωνῆς τόνῳ. Ἡ κόμη δέ, 5
καὶ ἐς τοὐπίσω ὁ πλόκαμος συνεσπειραμένος, οὐκ ἐλευθέριόν φησιν
αὐτὸν εἶναι.

γ'. Τιμ. Τοῦτο μὲν εὐγενείας, ὦ Λυκῖνε, σημεῖόν ἐστιν Αἰ-
γυπτίας, ἡ κόμη. Ἅπαντες γὰρ αὐτοῖς οἱ ἐλεύθεροι παῖδες ἀνα- 2
πλέκονται, ἔς τε πρὸς τὸ ἐφηβικὸν ἔμπαλιν ἢ οἱ πρόγονοι ἡμῶν,
οἷς ἐδόκει καλὸν εἶναι κομᾶν τοὺς γέροντας, ἀναδουμένους κρώ-

---

θες τοῦτο τοῖς Ἀττικισταῖς· ὁ δὲ τοι Γὰρ μεταβατικός· τὸ δ' ὅλον. Καὶ τί ἔδει με ποιεῖν, ὦ Λυκ.

3. Εἵπετο μεθ' ἡμ.) Τὸ Ἕπομαι δοτικῇ· τὸ δὲ Ἕπεσθαι μετά τινος ἀντί τινι κεῖται· οὕτω δὴ καὶ Ἀριστοφ. ἐν Πλουτ. στίχ. 824.

Ἕπου μετ' ἐμοῦ παιδάριον.

5. Ἀμφοτέρ.) Ταῖς χερσὶ δηλ.

6. Καί με) Ἀντὶ τοῦ ὅς με. Σύνηθες δὲ πολλοῖς τοῦτο ἐν μεταβάσει ἀντὶ τοῦ ἀναφορικοῦ χρῆσθαι τῷ Καί.

— Τὸ ἀπὸ τούτου) Μετὰ ταῦτα· ἡ γὰρ Ἀπὸ καὶ τὸ ὕστερον σημαίνει, τὸ δὲ Τὸ παρέλκει. — Οὔτε ἔνδ.) Τῆς νεώς. — Οὔτε ἐπεὶ κατ.) Οὔτε ἀφ' οὗ κατηλθομεν, ἐκβάντες ἀπὸ τῆς νεώς.

β'. Ἐνδεδυκός) Ἐνδεδυμένον· παρὰ τοῦ ἐνδύω τὸ ἀμπέχομαι· ὅρα Θ, ιϛ'.

2. Μακρὰ χαίρειν φράσ.) Φράσις αὕτη Ἀττικισμοῦ, ἀντὶ τοῦ καθ' ἡμᾶς, παραιτήσας, ἀπολιπών, ὡς μηδὲν μέλον αὐτῷ. — Περιηγουμένῳ τὸ πλ.) Ἡγουμένῳ περὶ τὸ πλοῖον καὶ δεικνύοντι ἕκαστα τοῖς θεαταῖς.

4. Ἐπισεσυρμ. καὶ συνεχ. καὶ ἐπίτρ.) Ὥσπερ συρόμενος καὶ ἀσθενὴς ἦν αὐτῷ ὁ λόγος, συνεχόμενός τε καὶ ταχύς.



ΙΩΑΝΝΙΝΑ 2006

3 βυλον ὑπὸ τέττιγι χρυσῷ ἀνειλημμένον. — Σάμ. Εὖγε, ὦ Τιμόλαε, ὅτι ἡμᾶς ἀναμιμνήσκεις τῶν Θουκυδίδου συγγραμμάτων, ἃ ἐν τῷ προοιμίῳ περὶ τῆς ἀρχαίας ἡμῶν τρυφῆς εἶπεν ἐν τοῖς Ἴωσιν, ὁπότε οἱ τότε συναπῳκίσθησαν.

δ. Λυκ. Ἀτάρ, ὦ Σάμιππε, νῦν ἀνεμνήσθην ὁπόθεν ἡμῶν ἀπελείφθη Ἀδείμαντος, ὅτε παρὰ τὸν ἱστὸν ἐπιπολὺ ἕστημεν ἀναβλέποντες, ἀριθμοῦντες τῶν βυρσῶν τὰς ἐπιβολάς, καὶ θαυμάζοντες ἀνιόντα τὸν ναύτην διὰ τῶν κάλων, εἶτα ἐπὶ τῆς κεραίας ἄνω ἀσφαλῶς διαθέοντα, τῶν κεροιάκων ἐπειλημμένον,
2 — Σάμ. Εὖ λέγεις. Τί δ᾽ οὖν χρὴ ποιεῖν ἡμᾶς ἐνταῦθα; καραδοκεῖν αὐτόν, ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι ἐς τὸ πλοῖον; — Τιμ.
3 Μηδαμῶς, ἀλλὰ προΐωμεν· εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα ἐς τὸ ἄστυ, ἐπεὶ μηκέθ᾽ ἡμᾶς εὑρεῖν ἐδύνατο· εἰ δὲ μή, ἀλλ᾽ οἶδε τὴν ὁδὸν Ἀδείμαντος, καὶ δέος οὐδέν,
4 μὴ ἀπολειφθεὶς ἡμῶν ἀποβουκοληθῇ. — Λυκ. Ὁρᾶτε μὴ σκαιὸν ᾖ, φίλον ἀπολιπόντας αὐτοὺς ἀπιέναι· βαδίζωμεν δ᾽ ὅμως, εἰ
5 καὶ Σαμίππῳ τοῦτο δοκεῖ. — Σάμ. Καὶ μάλα δοκεῖ, ἢν πως ἀνεῳγυῖαν τὴν παλαίστραν ἔτι καταλάβωμεν.

ε. Ἀλλὰ μεταξὺ τῶν λόγων, ἡλίκη ναῦς, εἴκοσι καὶ ἑκατὸν πήχεων ἔλεγεν ὁ ναυπηγὸς τὸ μῆκος, εὖρος δὲ ὑπὲρ τὸ τέταρτον μάλιστα τούτου· καὶ ἀπὸ τοῦ καταστρώματος ἐς τὸν Πυθμένα, ᾗ
2 βαθύτατον κατὰ τὸν ἄντλον, ἐννέα πρὸς τοῖς εἴκοσι. Τὰ δ᾽ ἄλλα ἡλίκος μὲν ὁ ἱστός, ὅσην δὲ ἀνέχει τὴν κεραίαν, οἵῳ δὲ προτόνῳ συνέχεται, ὡς δὲ ἡ πρύμνα μὲν ἐπανέστηκεν ἠρέμα καμπύλη, χρυσοῦν χηνίσκον ἐπικειμένη, καταντικρὺ δὲ ἀνάλογον ἡ πρῷρα ὑπερβέβηκεν, ἐς τὸ πρόσω ἀπομηκυνομένη, τὴν ἐπώ-

---

— Τῷ ψοφ.) Κατ᾽ ἔλλειψιν τῆς Ἐν.

γ΄. 2. Κρώβυλον ὑπὸ τετ.) Κρώβυλόν φασιν εἶδος εἶναι πλέγματος τῶν τριχῶν, ὃ δὴ γέροντες ἀνεδέοντο ἐν Ἀθήναις, ὥς φησι Θουκυδ. Α΄. ς΄. συνάπτοντες χρυσῷ τέττιγι. Τέττιγας γὰρ χρυσοῦς ἐποιοῦντο, καὶ διὰ τούτων συνῆπτον τοὺς κρωβύλους τὰ τῶν ἐπὶ τῆς κεφαλῆς δηλ. τριχῶν πλέγματα.

3. Ἐν τοῖς Ἴωσ.) Ὁμιλῶν καὶ περὶ Ἰώνων ἀποίκων Ἀθηναίων ὄντων.

δ΄. Τῶν βυρσῶν τὰς ἐπιβ.) Πολυδεύκ. Ὀνομαστ. Α΄. θ΄. Περὶ ναυμαχίας καὶ δὲ πλοίων καὶ τλ. φησί. «Πρὸς τὰς ἐπιβολὰς »ἐν ναυμαχίᾳ ἀντεσοφίζοντο βύρσας προσηλοῦντες πρὸς τὰ τειχίσματα τῶν νεῶν, »ὅπως ὁ σίδηρος ὀλισθάνῃ, πρὸς τὸ ἀντίτυπον ἀντιλαβεῖν οὐκ ἔχων· ἠρίθμουν δὲ τῶν βελῶν τὰς ἐπιβολὰς ἐπὶ τὰς βύρσας.

2. Καραδοκεῖν αὐτ.) Προσμένειν ἐνταῦθα αὐτόν.

ε. Ἀλλὰ μεταξὺ λόγων) Ὅμοιον τοῦτο τῷ παρ᾽ ἡμῖν μετ᾽ ἀπορίας λεγόμενον. Ἀλλὰ σταθῆτε. Παρὰ δὲ τοῖς Γάλλοις τοῦτο οἰκείως ἐκφράζεται διὰ τοῦ, à prorpos.

— Ὑπὲρ τὸ τέταρτον) Τὸ δὲ τοῦ μήκους τέταρτον ἐστὶ τριάκοντα· πλέον δηλ. τῶν τριάκοντα πήχεων ἔλεγε τὸ εὖρος.

— Ἐννέα πρὸς τοῖς εἴκ.) Πήχεων δηλ. εἶναι.

2. Χηνίσκον) Ἢ ἐπίκειται Χρυσοῦς χηνίσκος, ἢ ἐπικείμενον ἔχουσα χρυσοῦν χηνίσκον. Τὸ δ᾽, ἐπικειμένη χρυσοῦν χηνίσκον, δυσξύνετόν τέ ἐστι καὶ κακόζηλον.

— Τὴν ἐπώνυμον τῆς νεὼς) Ἐν ταύτῃ τῇ νηῒ προστάτις τε καὶ παράσημον δοκεῖ εἶναι ἡ Ἶσις· ἅπερ ἐν ἄλλοις διακεκριμμένα εἰσίν.

Εργ. Διασκ. Π. ΙΩΑΝΝΙΝΑ 2006

νυμον τῆς νεὼς θεὸν ἔχουσα τὴν Ἶσιν ἑκατέρωθεν. Ὁ μὲν γὰρ ἄλ- 3
λος κόσμος, αἱ γραφαὶ, καὶ τοῦ ἱστίου τὸ παράσειον πυραυγὲς, καὶ πρὸ τούτων αἱ ἄγκυραι, καὶ στροφεῖα, καὶ περιαγωγεῖς, καὶ αἱ μετὰ τὴν πρύμναν οἰκήσεις, θαυμάσια πάντα μοι ἔδοξε.

ϛ΄. Καὶ τὸ τῶν ναυτῶν πλῆθος στρατοπέδῳ ἄν τις εἰκάσειεν. Ἐλέγετο δὲ καὶ τοσοῦτον ἄγειν σῖτον, ὡς ἱκανὸν εἶναι πᾶσι τοῖς ἐν
τῇ Ἀττικῇ ἐνιαύσιον πρὸς τροφήν. Κἀκεῖνα πάντα μικρός τις 2
ἀνθρωπίσκος γέρων ἤδη ἔσωζεν, ὑπὸ λεπτῇ κάμακι τὰ τηλικαῦτα πηδάλια περιστρέφων. Ἐδείχθη γάρ μοι ἀναφαλαντίας τις, οὖλος, Ἥρων, οἶμαι, τοὔνομα. — Τιμ. Θαυμάσιος τὴν τέχνην, ὡς ἔφασκον οἱ ἐμπλέοντες καὶ τὰ θαλάττια σοφὸς ὑπὲρ τὸν Πρωτέα.

ζ΄. Ἠκούσατε δὲ ὅπως δεῦρο κατήγαγε τὸ πλοῖον, οἷα ἔπαθον
πλέοντες, ἢ ὡς ὁ ἀστὴρ αὐτοὺς ἔσωσεν;—Λυκ. Οὐκ, ὦ Τιμόλαε, 2
ἀλλὰ νῦν ἡδέως [δ'] ἂν ἀκούσαιμεν. — Τιμ. Ὁ ναύκληρος αὐτὸς
διηγεῖτό μοι, χρηστὸς ἀνὴρ, καὶ προσομιλῆσαι δεξιός. Ἔφη δὲ ἀ- 3
πὸ τῆς Φάρου ἀπάραντας οὐ πάνυ βιαίῳ πνεύματι, ἑβδομαίους ἰδεῖν τὸν Ἀκάμαντα· εἶτα ζεφύρου ἀντιπνεύσαντος, ἀπενεχθῆναι πλαγίους ἄχρι Σιδῶνος· ἐκεῖθεν δὲ χειμῶνι μεγάλῳ περιπεσόντας δεκάτῃ ἐπὶ Χελιδονέας διὰ τοῦ Αὐλῶνος ἐλθεῖν· ἔνθα δὴ παρὰ μικρὸν ὑποβρυχίους δῦναι ἅπαντας.

η΄. Οἶδα δέ ποτε παραπλεύσας καὶ αὐτὸς Χελιδονέας, ἡλίκον ἐν τῷ τόπῳ ἀνίσταται τὸ κῦμα, καὶ μάλιστα περὶ τὸν Λίβα, ὁ-
πόταν ἐπιλάβῃ καὶ τοῦ Νότου. Κατ' ἐκεῖνο γὰρ δὴ συμβαίνει 2
μερίζεσθαι τὸ Παμφύλιον ἀπὸ τῆς Λυκιακῆς θαλάσσης· καὶ ὁ κλύδων ἅτε ἀπὸ πολλῶν ῥευμάτων περὶ τῷ ἀκρωτηρίῳ σχιζόμενος, (ἀπόξυροι δέ εἰσι πέτραι, καὶ ὀξεῖαι, παραθηγόμεναι τῷ κλύσματι,) καὶ φοβερωτάτην ποιεῖ τὴν κυματωγὴν, καὶ τὸν ἦχον μέγαν· καὶ τὸ κῦμα πολλάκις αὐτῷ ἰσομέγεθες τῷ σκοπέλῳ.

---

3. Τὸ παράσειον πυραυγὲς) Ἦν γὰρ τὸ παράσειον λαμπρὸς ἀστὴρ θάτερος τῶν Διοσκούρων ἐπικαθήμενος τῷ καρχησίῳ, ὡς παρακατιὼν λέγει. κεφ. θ΄.

ϛ΄. Ἐνιαύσιον) πρὸς τροφὴν δηλ. ἐνιαύσιον· κατὰ σχῆμα δὲ ἀντιστροφῆς εἴρηται.

2. Τὴν τέχνην καὶ τὰ θαλάττια) Κατὰ τὴν τέχνην καὶ κατὰ τὰ θαλάττια.

ζ΄. Ὁ ἀστὴρ) Ὁ τῶν Διοσκούρων· οἱ γὰρ Διόσκουροι, Κάστωρ φημὶ καὶ Πολυδεύκης, θαλάσσιοί εἰσιν ἀντιλήπτορες. Εἷς δὲ ἀστὴρ, διότι οὐκ ἄμφω, ἀλλ' ἕτερος αὐτῶν παρ' ἡμέραν ἐν θεοῖς ἦν· ὁ δ' ἕτερος ἐν τοῖς νεκροῖς ἐν ᾅδου.

2. Ἡδέως [δ'] ἂν ἀκούσαιμεν) Μεθ' ἡδονῆς ἀκούσομεν ταῦτά σου διηγουμένου.

3. Παρὰ μικρὸν) Ἀντὶ τοῦ μικροῦ δεῖν.

— Ὑποβρυχίους δῦναι) Πνιγῆναι δηλ. ἐν θαλάσσῃ.

η΄. Καὶ μάλιστα περὶ τὸν Λίβα) Καὶ μάλιστα Λιβὸς πνέοντος, καὶ τοῦ Νότου συνεπιλαμβανομένου.

2. Κατ' ἐκεῖνο) Τὸ μέρος δηλ.

— Τὸ Παμφύλιον) Πέλαγος δηλ.

ΕΒΕΔ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

θ΄. Τοιαῦτα καὶ σφᾶς καταλαβεῖν ἔφασκεν ὁ ναύκληρος, ἔτι
καὶ νυκτὸς οὔσης, καὶ ζόφου ἀκριβοῦς· ἀλλὰ πρὸς τὴν οἰμωγὴν
αὐτῶν ἐπικλασθέντας τοὺς θεοὺς, πῦρ τε ἀναδεῖξαι ἀπὸ τῆς Λυ-
κίας, ὡς γνωρίσαι τὸν τόπον ἐκεῖνον, καί τινα λαμπρὸν ἀστέρα,
Διοσκούρων τὸν ἕτερον, ἐπικαθίσαι τῷ καρχησίῳ, καὶ κατευθῦναι
τὴν ναῦν ἐπὶ τὰ λαιὰ ἐς τὸ πέλαγος, ἤδη τῷ κρημνῷ προσφερομέ-
2 νην. Τοὐντεῦθεν δὲ ἅπαξ τῆς ὀρθῆς ἐκπεσόντας, διὰ τοῦ Αἰγαίου
πλεύσαντας, ἑβδομηκοστῇ ἀπ' Αἰγύπτου ἡμέρᾳ πρὸς ἀντίους τοὺς
Ἐτησίας πλαγιάζοντας, ἐς Πειραιᾶ χθὲς καθορμίσασθαι, τοσοῦ-
τον ἀποσυρέντας ἐς τὸ κάτω, οὓς ἔδει τὴν Κρήτην δεξιὰν λαβόν-
3 τας, ὑπὲρ τὸν Μαλέαν πλεύσαντας, ἤδη εἶναι ἐν Ἰταλίᾳ. — Λυκ.
Νὴ Δία, θαυμάσιόν τινα φὴς κυβερνήτην τὸν Ἥρωνα, ἢ τοῦ Νη-
ρέως ἡλικιώτην, ὃς τοσοῦτον ἀπέσφαλη τῆς ὁδοῦ.

ι΄. Ἀλλὰ τί τοῦτο; οὐκ Ἀδείμαντος ἐκεῖνός ἐστι; — Τιμ. Πάνυ
μὲν οὖν Ἀδείμαντος αὐτός. Ἐμβοήσωμεν οὖν. Ἀδείμαντε, σέ φημι
2 τὸν Μυῤῥινούσιον, τὸν Στροβίχου. — Λυκ. Δυοῖν θάτερον, ἢ
δυσχεραίνει καθ' ἡμῶν, ἢ ἐκκεκώφωται· Ἀδείμαντος γὰρ, οὐκ
ἄλλος τίς ἐστι, πάνυ ἤδη σαφῶς ὁρῶ, καὶ θοἰμάτιον αὐτοῦ, καὶ τὸ
3 βάδισμα ἐκείνου, καὶ ἐν χρῷ ἡ κουρά. Ἐπιτείνωμεν δὲ ὅμως
τὸν περίπατον, ὡς καταλάβωμεν αὐτόν.

ια΄. Ἢν μὴ τοῦ ἱματίου λαβόμενοί σε ἐπιστρέψωμεν, ὦ Ἀ-
δείμαντε, οὐχ ὑπακούσεις ἡμῖν ἐμβοῶσιν; ἀλλὰ καὶ φροντίζοντι
ἔοικας ἐπὶ συννοίας τινὸς, οὐ μικρὸν οὐδ' εὐκαταφρόνητον πρᾶγμα,
2 ὡς δοκεῖς, ἀνακυκλῶν. — Ἀδείμ. Οὐδὲν, ὦ Λυκῖνε, χαλεπὸν,
ἀλλά με καινή τις ἔννοια μεταξὺ βαδίζοντα ὑπελθοῦσα, παρα-

---

θ΄. Ἔτι καὶ νυκτὸς) Ἔτι δὲ συνέβη αὐτοῖς καταλαβεῖν τοιαῦτα, οὐχ ἡμέρας, ἀλλὰ νυκτὸς οὔσης καὶ ζόφου. Τοιοῦτό τι σημαίνει ὁ Καί.

— Ὡς γνωρίσ.) Ὥστε γνωρίσαι.

— Τῷ κρημνῷ προσφ.) Φερομένην πρὸς τῷ κρημνῷ.

2. Τῆς ὀρθῆς) Ὁδοῦ δηλ.

— Ἐτησίας) Ἀνέμους δηλ. Ἐτησίαι γὰρ λέγονται ἄνεμοι οἱ κατά τινα ὥραν τοῦ ἔτους πνέοντες· οἷον περὶ δέκα ἢ δυοκαίδεκα ἡμέρας που πρὸ τῆς ἀνατολῆς ἀστέρος καλουμένου Κυνὸς ἢ Σειρίου, μέχρι τῆς ἀνατολῆς ἀρκτούρου ἀστέρος καὶ αὐτοῦ. Ἀριστ. περὶ Κόσμ.

3. Θαυμάσιον φὴς) Ὡς φὴς ἐστὶ θαυμάσιος κυβερνήτης. Εἰρωνικῶς δὲ τοῦτο λέγει.

— Ἢ τοῦ Νηρέως ἡλικιώτην) Ἢ τὸν ἡλικιώτην τοῦ Νηρέως θεοῦ τῆς θαλάσσης· χλευαστικῶς καὶ τοῦτο τὴν παλαιότητα τοῦ γέροντος Ἥρωνος εἰρωνευόμενος.

ι΄. Ἀλλὰ τί τοῦτο) Ἀλλὰ τί ἐστι τοῦτο, ὅπερ ὁρῶ;

2. Καὶ θοἰμάτιον αὐτοῦ) Καὶ τὸ ἱμάτιον, ὅπερ ὁρῶ, αὐτοῦ ἐστι· καὶ τλ. Τὸ δὲ θοἰμάτιον κατὰ συναίρεσιν· τὸ μὲν ο καὶ ι οι συναιρεῖται, διὰ δὲ τὴν δασεῖαν τρέπεται τὸ τ εἰς θ.

— Καὶ ἐν χρῷ ἡ κουρὰ) Σημειούσθω, ὅτι ἐν Ἀθήναις ἐκόμων οἱ ἐλεύθεροι, τοῖς δὲ δούλοις οὐκ ἐξῆν κομᾶν νόμῳ· ὅθεν οὗν ἐκείροντο μέχρι τοῦ δέρματος κόπτοντες τὰς τρίχας, ἢ γοῦν ξυρῷ ἔκοπτον αὐτάς. Κατὰ τοῦτον οὖν τὸν τρόπον ἐκείροντο καὶ τῶν φιλοσόφων οἱ Στωϊκοὶ καλούμενοι, ἀπέριττοι τὰ πάντα ὄντες.

ια΄. Ἀνακυκλῶν) Πρὸς σεαυτόν.

2. Οὐδὲν χαλεπὸν) Ἀνακυκλῶ πρὸς ἐμαυτόν.

κοῦσαι ὑμῶν ἐποίησεν, ἀτενὲς πρὸς αὐτὴν ἅπαντι τῷ λογισμῷ
ἀποβλέποντα. — Λυκ. Τίς αὕτη; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν, εἰ μή 3
τις ἐστὶ τῶν πάνυ ἀπορρήτων. Καίτοι ἐτελέσθημεν, ὡς οἶσθα, καὶ
στέγειν μεμαθήκαμεν. — Ἀδείμ. Ἀλλ' αἰσχύνομαι ἔγωγε εἰπεῖν 4
πρὸς ὑμᾶς· οὕτω γὰρ μειρακιῶδες ὑμῖν δόξει τὸ φρόντισμα. —
Λυκ. Μῶν ἐρωτικόν τι ἐστιν; οὐδὲ γὰρ οὐδὲ τοῦτο ἀμυήτοις ἡμῖν 5
ἐξαγορεύσεις, ἀλλ' ὑπὸ λαμπρᾷ τῇ δᾳδὶ καὶ αὐτοῖς τετελεσμένοις.

ιβ'. Ἀδείμ. Οὐδέν, ὦ θαυμάσιε, τοιοῦτον, ἀλλά τινα πλοῦτον
ἐμαυτῷ ἀνεπλαττόμην, ἣν κενὴν μακαρίαν οἱ πολλοὶ καλοῦσι·
καί μοι ἐν ἀκμῇ τῆς περιουσίας καὶ τρυφῆς ἐπέστητε. — Λυκ. 2
Οὐκοῦν τὸ προχειρότατον τοῦτο, κοινὸς Ἑρμᾶς, φασι· καὶ ἐς μέ-
σον κατατίθει φέρων τὸν πλοῦτον· ἄξιον γὰρ ἀπολαῦσαι τὸ μέ-
ρος φίλους ὄντας, τῆς Ἀδειμάντου τρυφῆς. — Ἀδείμ. Ἀπελεί- 3
φθην μὲν ὑμῶν εὐθὺς ἐν τῇ πρώτῃ ἐς τὴν ναῦν ἐπιβάσει, ἐπεί σε,
ὦ Λυκῖνε, κατέστησα ἐς τὸ ἀσφαλές. Περιμετροῦντος γάρ μου 4
τῆς ἀγκύρας τὸ μέγεθος, οὐκ οἶδ' ὅπου ὑμεῖς ἀπέστητε.

ιγ'. Ἰδὼν δ' ὅμως τὰ πάντα, ἠρόμην τινὰ τῶν ναυτῶν ὁπόσην
ἀποφέρει ἡ ναῦς τῷ δεσπότῃ ὡς ἐπιτοπολὺ κατ' ἔτος ἕκαστον
τὴν μισθοφορίαν· ὁ δέ μοι, Δώδεκα, ἔφη, Ἀττικὰ τάλαντα, εἰ
πρός τοὐλάχιστόν τις λογίζοιτο. Τοὐντεῦθεν οὖν ἐπανιών, ἐλογι- 2
ζόμην, εἴ τις θεῶν τὴν ναῦν ἄφνω ἐμὴν ποιήσειεν εἶναι, οἷον ἂν
ὡς εὐδαίμονα βίον ἐβίωσα, εὖ ποιῶν τοὺς φίλους, καὶ ἐπιπλέων
ἐνίοτε μὲν αὐτός, ἐνίοτε δὲ οἰκέτας ἐκπέμπων· εἶτα ἐκ τῶν δώδεκα

— Ἀποβλέποντα) Μεταφορικῶς ἀντὶ προσέχοντα.

3. Τίς αὕτη) Ἡ ἔννοια δηλ.

— Ἐτελέσθημεν) Ἐν ἀκινδύνῳ σοι τὸ πρὸς ἡμᾶς ἐκφέρειν καθίσταται· μεμυήμεθα γὰρ καὶ οὗτοι, καὶ σιγᾷν μεμαθήκαμεν· μόνῳ δὲ τῷ τῶν μυστηρίων ἀμυήτῳ οὐκ ἔξεστι ἐξειπεῖν τὸ ἀπόρρητον· πρὸς ἡμᾶς δὲ οὐδὲν ἀπόρρητον ἔχειν σε δεῖ· τοῖς γὰρ μεμυημένοις οὐκ ἐξῆν τὸ ἀπόρρητον λέγειν· ἐμυοῦντο δὲ τὰ ἐν Ἐλευσῖνι μυστήρια· περὶ ὧν οὐδὲν βέβαιον ἴσμεν· τοῦτο δὲ δῆλον ὅτι οἱ μεμυημένοι δίηγον βίον σεμνὸν καὶ ἀρετῆς ἁπάσης πλήρη.

4. Τὸ φρόντισμα) Ἡ ἔννοια δηλ. περὶ ἧς ἐφρόντιζον.

5. Οὐδὲ γὰρ οὐδὲ) Καὶ τοῦτο μεμυημένοι ἐσμέν, καὶ πρὸς ἡμᾶς οὕτως ἔχοντας ἐξαγορεύσεις.

— Ἀλλ' ὑπὸ λαμπρᾷ) Φανερὰ γὰρ καὶ ἡμεῖς τοῦτο ἐμυήθημεν· φανερὸν δηλ. ὅτι καὶ ἡμεῖς τοιοῦτοι ἐσμέν.

ιβ'. Οὐδὲν τοιοῦτον) Ἤτοι ἐννοεῖται τὸ ἐστίν, ἵν' ᾖ· οὐδέν ἐστι τοιοῦτον, ὦ θαυμάσιε, ἀλλὰ ἡ ἐκ τρίτου ἐστὶ τοῦ, ἀνεπλαττόμην· ἤγουν· ὦ θαυμάσιε, οὐδὲν ἀνεπλαττόμην τοιοῦτον· ἀλλὰ πλοῦτ. καὶ τλ. — Ἣν κενὴν μακαρ.) Τὰ πρὸς ῥαστώνην καὶ εὐημερίαν τείνοντα, εἴτε ἐγρηγορότων ἐνθύμια, εἴτε καὶ καθευδόντων ἐνύπνια κενὴν μακαρίαν οἱ παλαιοὶ κατερήμισαν.

2. Κοινὸς Ἑρμᾶς) Τὸ μὲν Ἑρμᾶς Δωρικόν, ἀντὶ τοῦ Ἑρμῆς· ἔστι δὲ παροιμία ἐπὶ τῶν μετέχειν αἰτούντων κέρδους, τοῦ Ἑρμοῦ, ὃς καὶ πλουτοδότης πιστεύεται, εὐνοίᾳ ἡμῖν προβαλλομένου.

— Ἀπολαῦσαι) Τῆς Ἀδειμ. τρυφ. ἕκαστον κατὰ τὸ μέρος.

3. Ἐπεί σε) Τὸ Ἐπεὶ χρονικόν· ἤτοι μετὰ τὸ καταστῆσαί σε, ἢ ἀφ' οὗ σε κατέστησα.

ιγ'. Ὡς ἐπιτοπολὺ) Ὡς ἐπὶ τὸ πλεῖστον.

— Εἰ πρὸς τοὐλάχιστόν τις λογίζοιτο) Τὸ παρ' ἡμῖν, τὸ ὀλιγάτερον.

2. Ὡς εὐδ.) Τὸ ὡς ἐπιτατικόν, καὶ ὁ νοῦς ὁποῖον ἂν εὐδαιμονέστατον βίον ἐβίωσα.

*ἐκείνων ταλάντων, οἰκίαν τε ἤδη ᾠκοδομησάμην ἐν ἐπικαίρῳ μικρὸν ὑπὲρ τὴν ποικίλην, τὴν παρὰ τὸν Ἰλισσὸν ἐκείνην τὴν πατρῴαν ἀφείς, καὶ οἰκέτας ὠνούμην καὶ ἐσθῆτας, καὶ ζεύγη, καὶ ἵπ-*
3 *πους. Νυνὶ δὲ ἤδη καὶ ἔπλεον, ὑφ᾽ ἁπάντων εὐδαιμονιζόμενος τῶν ἐπιβατῶν, φοβερὸς τοῖς ναύταις, καὶ μονονουχὶ βασιλεὺς νομιζόμε-*
4 *νος. Ἔτι δέ μοι τὰ κατὰ τὴν ναῦν εὐθετίζοντι, καὶ ἐς λιμένα πόῤῥωθεν ἀποβλέποντι, ἐπιστάς, ὦ Λυκῖνε, κατέδυσας τὸν πλοῦτον, καὶ ἀνέτρεψας εὖ φερόμενον τὸ σκάφος οὐρίῳ τῆς εὐχῆς τῷ πνεύματι.*

ιδ΄. Λυκ. *Οὐκοῦν, ὦ γενναῖε, λαβόμενός μου, ἄπαγε πρὸς τὸν στρατηγόν, ὥς τινα πειρατήν, ἢ καταποντιστήν, ὃς τηλικοῦτον ναυάγιον εἴργασμαι, καὶ ταῦτα ἐν γῇ κατὰ τὴν ἐκ Πειραιῶς ἐς τὸ*
2 *ἄστυ. Ἀλλ᾽ ὅρα παραμυθήσομαί σου τὸ πταῖσμα. Πέντε γάρ, εἰ βούλει, καλλίω καὶ μείζω τοῦ Αἰγυπτίου πλοῖα ἤδη ἔχε, καὶ τὸ μέγιστον, οὐδὲ καταδῦναι δυνάμενα. Καὶ τάχα σοι πεντάκις ἐξ Αἰγύπτου κατ᾽ ἔτος ἕκαστον σιταγωγείτω σιταγωγίαν, εἰ καί, ὦ*
3 *ναυκλήρων ἄριστε, δῆλος εἶ ἀφόρητος ἡμῖν τότε γενησόμενος. Ὡς γὰρ ἔτι ἑνὸς πλοίου τουτουὶ δεσπότης ὤν, παρήκουες βοώντων, εἰ πέντε κτήσαιο πρὸς τούτῳ τριάρμενα πάντα, καὶ ἀνώλεθρα, οὐδὲ*
4 *ὄψει δηλαδὴ τοὺς φίλους. Σὺ μὲν οὖν εὐπλόει, ὦ βέλτιστε· ἡμεῖς δὲ ἐν Πειραιεῖ καθεδούμεθα· καὶ τοὺς ἐξ Αἰγύπτου, ἢ Ἰταλίας καταπλέοντας ἀνακρίνοντες, εἴ που τὸ μέγα Ἀδειμάντου πλοῖον, τὴν Ἶσιν, τις οἶδεν.*

ιέ. Ἀδείμ. *Ὁρᾷς, διὰ τοῦτο ὤκνουν εἰπεῖν, ἃ ἐνενόουν, εἰδὼς ὅτι ἐν γέλωτι καὶ σκώμματι ποιήσεσθέ μου τὴν εὐχήν. Ὥ-*
2 *στε ἐπιστὰς μικρόν, ἐς τ᾽ ἂν ὑμεῖς προχωρήσητε, ἀποπλευσοῦμαι πάλιν ἐπὶ τῆς νεώς. Πολὺ γὰρ ἄμεινον τοῖς ναύταις*

---

2. Ἐν ἐπικαίρῳ) Τόπῳ δηλ. ἐπιτηδείῳ. — Ὑπὲρ τὴν ποικίλην) Στοὰν δηλ. Ἦν γὰρ ἐν Ἀθήναις στοά, ἐν ᾗ ἦταν πάνθ᾽ ὅσα Ἀρχιτεκτονική, Γλυπτική, καὶ Ζωγραφική, ἔχουσι σπάνια, καὶ λόγου ἄξια· ἦσαν δ᾽ ἐν αὐτῇ καὶ διάφοροι εἰκόνες θαῦμα ἰδεῖν· μεταξὺ δὲ τούτων καὶ ἡ τῆς ἐν Μαραθῶνι μάχης εἰκών· διὰ ταῦτα οὖν τὰ ποικίλματα ἐλέγετο ποικίλη. Ἀπὸ ταύτης ἔλαχον τὴν κλῆσιν καὶ οἱ καλούμενοι Στωϊκοὶ φιλόσοφοι ὡς συναθροιζόμενοι ἐν αὐτῇ.

— Τὴν πατρῴαν) Οἰκίαν δηλ.

4. Οὐρίῳ τῆς εὐχῆς) Οὐρίῳ πνεύματι, ὅπερ ἐστὶ τὸ ὑποκείμενον τῆς ἡμετέρας εὐχῆς, ὅπερ εὐχόμεθα.

ιδ΄. Πρὸς τὸν στρατηγόν) Ἐν γὰρ Ἀθήναις οὕτως ἐκαλεῖτο ὁ ἄρχων πασῶν τῶν [ναυτικῶν] των ἐν Ἀθήναις· πρὸς ὃν πάντα ἀνεφέροντο τὰ θαλάσσια πράγματα· καὶ αὐτὸς ἐδίκαζε περὶ τούτων. — Καὶ ταῦτα) Ἐννοεῖται, Ἐποίησα.

— Κατὰ τὴν) Ὁδὸν τὴν φέρουσαν ἐκ Π.

2. Ἕκαστον) Τῶν πλοίων.

— Σιταγωγείτω σιταγωγίαν) Ἀττικισμὸς ἡ τοῦ συστοίχου ὀνόματος προσθήκη.

— Εἰ καὶ δῆλος εἶ) Δῆλος ἄρα εἶ· τὸ Εἰ συμπερασματικόν.

3. Ὡς γὰρ) Ἐπειδὴ γὰρ ὢν δεσπότης ἑνός, παρήκουες, πάντως οὐδὲ ὄψει τοὺς φίλους, κτησάμενος πέντε.

4. Ἀνακρίνοντες) Ἐξετάζοντες, ἐρωτῶντες.

ιέ. Ἐν γέλωτι ποιής.) Γελάσετε, καὶ σκώψετέ μου τὴν εὐχήν· κατὰ περίφρασιν δὲ εἴρηται.

Ε.Υ.Α της Κ.τ.Ι. 2006 ΙΩΑΝΝΙΝΑ

προσλαλεῖν, ἢ ὑφ᾽ ὑμῶν καταγελᾶσθαι. — Λυκ. Μηδαμῶς, ἐ- 3
πεὶ συνεμβησόμεθά σοι καὶ αὐτοὶ ὑποστάντες. — Ἀδείμ. Ἀλλὰ ὑ-
φαιρήσω τὴν ἀποβάθραν, προεισελθών. — Λυκ. Οὐκοῦν ἡμεῖς
γε προσνηξόμεθα ὑμῖν. Μὴ γὰρ οἴου, σοὶ μὲν εἶναι ῥᾴδιον τη- 4
λικαῦτα πλοῖα κτᾶσθαι, μήτε πριαμένῳ, μήτε ναυπηγησαμέ-
νῳ· ἡμεῖς δὲ οὐκ αἰτήσομεν παρὰ τῶν θεῶν ἐπὶ πολλοὺς στα-
δίους ἀκμῆτες δύνασθαι νεῖν. Καίτοι πρῶτον καὶ ἐς Αἴγιναν 5
ἐπὶ τὴν τῆς Ἐνοδίας τελετὴν, οἶσθα ἐν ἡλίκῳ σκαφιδίῳ πάν-
τες ἅμα οἱ φίλοι τεττάρων ἕκαστος ὀβολῶν διεπλεύσαμεν, καὶ
οὐδὲν ἐδυσχέραινες ἡμᾶς συμπλέοντας· νῦν δὲ ἀγανακτεῖς, εἰ
συνεμβησόμεθά σοι, καὶ τὴν ἀποβάθραν προεισελθὼν ἀφαιρεῖς.
Ὑπερμαζᾷς γε, ὦ Ἀδείμαντε, καὶ ἐς τὸν κόλπον οὐ πτύεις, 6
οὐδὲ οἶσθα, ὅς τις ὢν ναυκληρεῖς. Οὕτως ἐπῆρέ σε καὶ ἡ οἰ-
κία, ἐν καλῷ τῆς πόλεως οἰκοδομηθεῖσα, καὶ τῶν ἀκολούθων
τὸ πλῆθος. Ἀλλ᾽, ὦ ᾽γαθὲ, πρὸς τῆς Ἴσιδος, κἂν τὰ Νει- 7
λῷα ταῦτα ταρίχη τὰ λεπτὰ μέμνησο ἡμῖν ἄγειν ἀπ᾽ Αἰγύ-
πτου, ἢ μύρον ἀπὸ τοῦ Κανώπου, ἢ Ἶβιν ἐκ Μέμφιδος· εἰ δὲ καὶ
ἡ ναῦς ἐδύνατο, καὶ τῶν πυραμίδων μίαν.

ιϛ΄. Τιμ. Ἅλις παιδιᾶς, ὦ Λυκῖνε· ὁρᾷς ὡς ἐρυθριᾶν Ἀ-
δείμαντον ἐποίησας, πολλῷ τῷ γέλωτι ἐπικλύσας τὸ πλοῖον,
ὡς ὑπέραντλον εἶναι, καὶ μηκέτι ἀντέχειν πρὸς τὸ ἐπιῤῥέον· καὶ 2
ἐπείπερ ἔτι πολὺ ἡμῖν τὸ λοιπόν ἐστι πρὸς τὸ ἄστυ, διελόμε-
νοι τετραχῇ τὴν ὁδὸν κατὰ τοὺς ἐπιβάλλοντας ἕκαστος στα-
δίους, αἰτῶμεν ἅ περ ἂν δοκεῖ παρὰ τῶν θεῶν· οὕτω γὰρ ἂν ἡ-
μᾶς ὅ,τε κάματος λάθοι, καὶ ἅμα εὐφρανούμεθα, ὥσπερ ἡδί-

---

3. Ὑποστάν.) Τοῦτο δὲ δοκεῖ ταὐτὸ τῷ ἐπιστάντες· εἴρηται γὰρ ἐπιστὰς μικρόν.

5. Ἐπὶ τὴν τῆς Ἐνοδίας τελ.) Τούτων τῶν μυστηρίων μέμνηται Παυσανίας ἐπὶ τῷ τῆς Ἑκάτης ὀνόματι. Ἐνοδία γὰρ ἡ Ἑκάτη ὡς ἐπὶ τὰς ὁδοὺς, κατὰ τὰ μυθολογούμενα καθεζομένη· ὅθεν καὶ ἐπὶ τὰς τριόδους, ὡς καὶ ἄλλα ἁμαρτημάτων καθάρσια βρώματα ἐτίθετο· καὶ ἐπιστεύετο ὑπὸ Ἑκάτης βεβρώσκεσθαι· ὅθεν καὶ Ἑκάτης ἐκαλεῖτο δεῖπνον.

6. Ὑπερμαζᾷς) Λέγεται τοῦτο ἐπὶ τῶν ἀπὸ τῆς ἄγαν πενίας ἀρξαμένων πλουτεῖν· ἔπειτα σοβαρόν τι τοῖς συν[illegible] τέως ἐνορώντων καὶ ὑπεροπτικῶν· ὅθεν καὶ ὑπερμαζᾷν, ὡς μὴ πλέον μάζης πρότερον εὐπορηκότες. — Καὶ ἐς τὸν κόλπον οὐ πτ.) Εἰώθασιν αἱ γυναῖκες, καὶ τὸ ἔθος μέχρι καὶ νῦν ἀλλ᾽ ἐπὶ Ἑλλάδα σώζεται, εἰς τὸν κόλπον πτύειν, τὸ νεμεσητὸν ἐκτρεπόμεναι· τὸ δὲ εἰς τὸν κόλπον μὴ πτύειν ἀλαζόνων ἴδιον.

7. Εἰ δὲ καὶ) Προσθετικός. Καὶ εἰ ἐδύνατο δὲ ἡ ναῦς· πρὸς τούτοις δὲ εἰ ἐδύνατο· μέμνησο ἡμῖν ἄγειν καὶ μίαν τῶν πυρ.

ιϛ΄. Ἅλις παιδ.) Ἀρκεῖ σοι παίζοντι. — Ὑπέραντλ.) Ὥστε δυσχερὲς ἀντλεῖν οὐκ ἀρκεῖ αὐτῷ τὸ ἀντλ. — Πρὸς τὸ ἐπιῤῥέον) Ὑπακούεται κῦμα.

2. Κατὰ τοὺς ἐπιβ. ἕκαστ. σταδ.) Ἀπὸ τοῦ Πειραιέως μέχρι τοῦ ἄστεος τεσσαράκοντα ἦσαν στάδιοι. Ὅθεν ἐπιβαλλόντες ἑκάστῳ στάδιοι ἦσαν δέκα· ἐὰν [illegible] ὁδὸς εἰς τέσσαρα ἴσα ᾖ διῃρημένη [illegible] δέ τοι τριάκοντα, ὡς κατὰ τὸ τέλος γελώμενος λέγει ὅτι τῷ τετάρτῳ οὐδὲν ἀπελείφθη. μς΄. ἡμιστάδιον αἰτήσαντι. ιζ΄.

3. Εὖ ποιήσαντι) Τῷ ὀνείρῳ δηλ.

Ε.Υ.Δ. της Κτ.Ιτ. ΙΩΑΝΝΙΝΑ 2006

στῳ ὀνείρατι ἑκουσίῳ περιπεσόντες, ἐφ' ὅσον βουλόμεθα εὖ ποιή-
3 σοντι ἡμᾶς. Παρ' αὐτῷ γὰρ ἑκάστῳ τὸ μέτρον τῆς εὐχῆς, καὶ
οἱ θεοὶ πάντα ὑποκείσθωσαν παρέξοντες, εἰ καὶ τῇ φύσει ἀπί-
4 θανα ἔσται. Τὸ δὲ μέγιστον, ἐπίδειξις ἔσται τὸ πρᾶγμα, ὅς τις
ἂν ἄριστα χρήσαιτο τῷ πλούτῳ, καὶ τῇ εὐχῇ. Δηλώσει γὰρ
οἷος ἂν καὶ πλουτήσας ἐγένετο.

ιζ'. Σάμ. Καλῶς, ὦ Τιμόλαε, καὶ πείθομαί σοι, καὶ ὅταν
2 ὁ καιρὸς καλῇ, εὔξομαι, ἅπερ ἂν δοκεῖ. Εἰ μὲν γὰρ Ἀδεί-
μαντος βούλεται, οὐδὲ ἐρωτᾷν οἶμαι, ὅς γε δὴ ἐν τῇ νηὶ τὸν
ἕτερον πόδα ἔχει· χρὴ δὲ καὶ Λυκίνῳ δοκεῖν. — Λυκ. Ἀλ-
λὰ πλουτῶμεν, εἰ τοῦτο ἄμεινον, μὴ καὶ βασκαίνειν ἐπὶ ταῖς
3 κοιναῖς εὐτυχίαις δοκῶ. — Ἀδείμ. Τίς γοῦν πρῶτος ἄρξεται;
— Λυκ. Σύ, ὦ Ἀδείμαντε, εἶτα μετὰ σέ, οὑτοσὶ Σάμιππος·
εἶτα Τιμόλαος, ἐγὼ δὲ ὀλίγον ὅσον ἡμιστάδιον τὸ πρὸ τοῦ
Διπύλου ἐπιλήψομαι τῇ εὐχῇ, καὶ τοῦτο ὡς οἷόν τε παραδραμών.

ιη'. Ἀδείμ. Οὐκοῦν ἐγὼ μὲν οὐδὲ νῦν ἀποσπήσομαι τῆς νεώς,
ἀλλ', εἴπερ ἔξεστιν, ἐπιμετρήσω τῇ εὐχῇ. Ὁ δὲ Ἑρμῆς ὁ κερ-
2 δῷος ἐπινευσάτω ἅπασιν. Ἔστω γὰρ τὸ πλοῖον, καὶ τὰ ἐν αὐ-
τῷ πάντα, ἐμά, καὶ ὁ φόρτος, οἱ ἔμποροι, αἱ γυναῖκες, οἱ ναῦ-
ται, καὶ ἄλλο εἴ τι ἥδιστον κτημάτων ἁπάντων. — Σάμ. Λέ-
3 ληθας σεαυτὸν ἔχων ἐν τῇ νηί. — Ἀδείμ. Τὸν παῖδα φής,
ὦ Σάμιππε, τὸν κομήτην; κἀκεῖνος οὖν ἔστω ἐμός· ὁπόσος δὲ
ὁ πυρὸς ἔνδον ἐστίν, οὗτος ὁ ἀριθμὸς ἅπας, χρυσίον ἐπίσημον
γενέσθω, τοσοῦτοι Δαρεικοί.

ιθ'. Λυκ. Τί τοῦτο, ὦ Ἀδείμαντε; καταδύσεταί σοι τὸ πλοῖον,
οὐ γὰρ ἴσον βάρος πυροῦ καὶ τοῦ ἰσαρίθμου χρυσίου. — Ἀ-
2 δείμ. Μὴ φθόνει, ὦ Λυκῖνε, ἀλλ' ἐπειδὰν εἰς σὲ παρέλθῃ ἡ
εὐχή, τὴν Πάρνηθα ἐκείνην, εἰ θέλοις, ὅλην χρυσῆν ποιήσας
3 ἔχε, κἀγὼ σιωπήσομαί σοι. — Λυκ. Ἀλλ' ὑπὲρ ἀσφαλείας τοῦ-
το ἔγωγε τῆς σῆς ἐπεσημάμην, ὡς μὴ ἀπολέσθαι ἅπαντας με-
τὰ τοῦ χρυσίου· καὶ τὰ μὲν ὑμέτερα μέτρια, τὸ μειράκιον δὲ
τὸ ὡραῖον, ἀποπνιγήσεται ἄθλιον, νεῖν οὐκ ἐπιστάμενον. — Τιμ.
Θάρρει, ὦ Λυκῖνε· οἱ δελφῖνες γὰρ αὐτὸ ὑποδύντες ἐξοίσουσιν

---

ιζ'. 3. Τὸ πρὸ τοῦ Διπύλ.) Ἔμπροσθεν τοῦ Διπύλου. Τόπος δὲ οὗτος τῶν Ἀθηνῶν οὕτω καλούμενος διὰ τὸ δύο εἶναι πύλας ἐν αὐτῷ. — Ἐπιλήψ.) Μετὰ πάντας λήψομαι· τὸ γὰρ ὕστερον σημαίνει ἡ Ἐπί.

ιη'. Ἐπιμετρήσω) Ἐπὶ τοῖς εἰρημένοις μετρήσω καὶ ἕτερα.

3. Χρυσίον ἐπίσ.) Χρήματα δηλ. μετρητὰ χρυσᾶ γενέσθω.

ιθ'. 2. Τὴν Πάρνηθα ἐκ.) Δεικνύουσι γὰρ τὸ ἐν Ἀττικῇ ὄρος, οὕτω καλούμενον.

3. Ἄθλιον) Ἐν τῇ τοιαύτῃ περιστάσει οἱ μὲν Ἀττικοὶ ἄνευ ἄρθρου χρῶνται τῷ ἄθλιος· ἡμῖν δὲ κοινῶς ἀνάρθρως ἥκει εἰς χρῆσιν.

ἐπὶ τὴν γῆν. Ἢ νομίζεις κιθαρῳδὸν μέν τινα σωθῆναι παρ᾽ αὐ- 4
τῶν, καὶ ἀπολαβεῖν τὸν μισθὸν ἀντὶ τῆς ᾠδῆς, καὶ νεκρόν τι ἄλ-
λο παιδίον εἰς τὸν Ἰσθμὸν ἐπὶ δελφῖνος ὁμοίως προσκομισθῆ-
ναι, τὸν δὲ Ἀδειμάντου οἰκέτην τὸν νεώνητον, ἀπορήσειν δελ-
φῖνος ἐρωτικοῦ; — Ἀδείμ. Καὶ σὺ γάρ, Τιμόλαε, μιμῇ Λυ- 5
κῖνον, καὶ ἐπιμετρεῖς τῶν σκωμμάτων, καὶ ταῦτα εἰσηγητὴς
αὐτὸς γενόμενος.

κ΄. Τιμ. Ἄμεινον γὰρ ἦν πιθανώτερον αὐτὸ ποιεῖν, καί τινα
θησαυρὸν ὑπὸ τῇ κλίνῃ ἀνευρεῖν, ὡς μὴ πράγματα ἔχοις ἐκ
τοῦ πλοίου, μετατιθεὶς χρυσίον ἐς τὸ ἄστυ. — Ἀδείμ. Εὖ λέ- 2
γεις· ἀνορωρύχθω θησαυρὸς ὑπὸ τὸν Ἑρμῆν τὸν λίθινον, ὅς ἐ-
στιν ἡμῖν ἐν τῇ αὐλῇ, μέδιμνοι χίλιοι ἐπισήμου χρυσίου. Εὐ- 3
θὺς οὖν, κατὰ τὸν Ἡσίοδον, οἶκος τὸ πρῶτον, ὡς ἂν ἐπισημό-
τατα οἰκοίην· καὶ τὰ περὶ τὸ ἄστυ πάντα ὠνησάμην ἤδη,
πλὴν ὅσα Ἰσθμοῖ, καὶ Πυθοῖ, καὶ ἐν Ἐλευσῖνι ὅσα ἐπὶ θα-
λάττῃ, καὶ περὶ τὸν Ἰσθμὸν ὀλίγα, τῶν ἀγώνων εἵνεκα, εἴ ποτε
δὴ τὰ Ἴσθμια ἐπιδημήσαιμι, καὶ τὸ Σικυώνιον πεδίον, καὶ ὅ-
λως εἴ πού τι ἢ συνηρεφές, ἢ ἔνυδρον, ἢ εὔκαρπον ἐν τῇ Ἑλλά-
δι, πάντα ἐν ὀλίγῳ Ἀδειμάντου ἔστω. Ὁ χρυσὸς δὲ κοῖλος ἡ- 4
μῖν ἐμφαγεῖν· τὰ δὲ ἐκπώματα οὐ κοῦφα, ὡς τὰ Ἐχεκράτους,
ἀλλὰ διτάλαντον ἕκαστον τὴν ὁλκήν.

κά. Λυκ. Εἶτα πῶς ὁ οἰνοχόος ὀρέξει πλῆρες οὕτω βαρὺ

---

4. Κιθαρῳδὸν) Τὸν Ἀρίονα λέγει. Τοῦτον γάρ, βουλομένων τῶν ναυτῶν ἐμβαλεῖν εἰς τὴν θάλασσαν, ᾄσαντα, ἦν γὰρ κιθαρῳδὸς ἐν τοῖς μάλιστα εὐδόκιμος, καὶ ῥίψαντα ἑαυτὸν εἰς τὴν θάλασσαν. ὑπολαβόντες οἱ δελφῖνες, ἔσωσαν. Ἡρόδ. Α΄. κγ΄.

— Καὶ νεκρὸν ἄλλ. παιδ.) Τὸν Μελικέρτην λέγει τὸν τῆς Ἰνοῦς παῖδα, ἐπιδιώκοντος τοῦ πατρὸς Ἀθάμαντος. Ἰνὼ γάρ, βουλευθεῖσα κακῶς κατὰ τῶν τέκνων Νεφέλης τῆς προτέρας γυναικὸς Ἀθάμαντος βασιλέως Θηβῶν, ἐκείνων μὲν ἐπὶ κριοῦ χρυσομάλλου δι᾽ ἀέρος φυγόντων, Ἀθάμαντος δέ, κατὰ μῆνιν Ἥρας εἰς μανίαν ἐμπεσόντος, ἔῤῥιψεν ἑαυτὴν εἰς θάλασσαν διὰ τῶν Σκιρωνίδων πετρῶν μετὰ τοῦ παιδὸς Μελικέρτου. Δελφῖνες δὲ ἔσωσαν· καὶ Ποσειδῶν αὐτὴν μὲν θεὰν Λευκοθέαν ἐποίησε· τὸν δὲ υἱὸν Παλαίμονα τῶν λιμένων προστάτην.

5. Καὶ ἐπιμετρεῖς) Προστίθης τινὰ τῶν σκωμμάτων.

— Καὶ ταῦτα) Ἐννοεῖται Ποιεῖς.

κ΄. 2. Ὑπὸ τὸν Ἑρμῆν τὸν λίθ.) Ἑρμοῦ γὰρ ἀγάλματα ἦσαν ἐκ λίθου κατειργασμένα, καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς ἐν Ἀθήναις, ἔθος δὲ τοῦτο Ἀθηναίοις. Θουκυδ. ς΄. κζ΄.

— Ἐπισήμου) Ἐσφραγισμένου.

3. Κατὰ τὸν Ἡσιοδ.) Ἐν ἔργοις στίχ. 405.

Οἶκον μὲν πρώτιστα, γυναῖκά τε,
βοῦν τ᾽ ἀροτῆρα.

— Ἰσθμοῖ καὶ Πυθοῖ) Ὡς τοπικὰ ἐπιῤῥήματα λαμβάνεται ταῦτα. Τόποι δὲ οὗτοι δοκοῦσιν εἶναι τῆς Ἀττικῆς.

— Ὅσα ἐπὶ θάλ.) Ἐπεξήγησις δοκεῖ ταῦτα τοῦ Ἰσθμοῖ καὶ Πυθοῖ· ἄλλως γὰρ ἀνεξήγητον τὸ χωρίον. Ταῦτα γὰρ οὐκ ὠνήσεται τῶν ἀγώνων φησὶν ἕνεκα.

— Εἴ ποτε δή) Ὁ νοῦς. Ἐὰν δέ μοι κατὰ θυμὸν ἐνδιατρίψαι ἐν Ἰσθμίοις, ὠνήσωμαι καὶ τὸ Σικυώνιον πεδίον ἐκεῖ πλησίον που ὄν.

4. Κοῖλος ἡμῖν ἐμφ.) Κοιλωθήτω δηλ. ὁ χρυσός, ἵνα ἐν αὐτῷ ἐντιθῆται τὰ βρώματα. Ἔστωσαν δηλονότι πάντα τὰ τῆς τραπέζης χρυσᾶ σκεύη.

— Τὴν ὁλκ.) Κατὰ τὴν ὁλκήν.

ἔκπωμα; ἢ σὺ δέξῃ παρ' αὐτοῦ ἀμογητὶ οὐ σκύφον, ἀλλὰ Σισύ-
2 φιόν τι, βάρος ἀναδιδόντος; — Ἀδειμ. Ἄνθρωπε, μή μ' ἀνάλυε τὴν
εὐχήν· ἐγὼ δὲ καὶ τραπέζας ὅλας χρυσᾶς ποιήσομαι, καὶ τὰς
κλίνας χρυσᾶς· εἰ δὲ μὴ σιωπήσῃ, καὶ τοὺς διακόνους αὐτούς.
3 —Λυκ. Ὅρα μόνον, μὴ ὥσπερ τῷ Μίδᾳ, καὶ ὁ ἄρτος σοι, καὶ τὸ
ποτὸν χρυσὸς γένηται, καὶ πλουτῶν ἄθλιος ἀπόλῃ, λιμῷ διαφθα-
4 ρεὶς πολυτελεῖ. — Ἀδειμ. Τὰ σὰ ῥυθμιεῖς πιθανώτερον, ὦ Λυ-
κῖνε, μετ' ὀλίγον, ἐπειδὰν αὐτὸς αἰτῇς.

κβ'. Ἐσθὴς ἐπὶ τούτοις ἁλουργίς, καὶ ὁ βίος οἷος ἁβρότατος·
ὕπνος, ἐφ' ὅσον ἥδιστος· φίλων πρόσοδοι, καὶ δεήσεις, καὶ τὸ ἅ-
παντας ὑποπτήσσειν, καὶ προσκυνεῖν· καὶ οἱ μὲν ἕωθεν πρὸς ταῖς
θύραις ἄνω καὶ κάτω περιπατήσουσιν, ἐν αὐτοῖς δὲ καὶ Κλεαί-
2 νετος, καὶ Δημοκράτης οἱ πάνυ. Καὶ προσελθοῦσί γε αὐτοῖς,
καὶ πρὸ τῶν ἄλλων εἰσδεχθῆναι ἀξιοῦσι, θυρωροὶ ἑπτὰ ἐφεστῶ-
τες, εὐμεγέθεις βάρβαροι προσαραξάτωσαν ἐς τὸ μέτωπον εὐθὺ
3 τὴν θύραν, οἷα νῦν αὐτοὶ ποιοῦσιν. Ἐγὼ δέ, ὁπόταν δόξῃ,
προκύψας ὥσπερ ὁ ἥλιος, ἐκείνων μὲν οὐδ' ἐπιβλέψομαι ἐνίους·
εἰ δέ τις πένης, οἷος ἦν ἐγὼ πρὸ τοῦ θησαυροῦ, φιλοφρονήσομαι
τοῦτον, καὶ λουσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.
4 Οἱ δὲ ἀποπνιγήσονται οἱ πλούσιοι, ὁρῶντες ὀχήματα, ἵππους,
καὶ παῖδας ὡραίους, ὅσον δισχιλίους ἐξ ἁπάσης ἡλικίας, ὅ,τι
περ τὸ ἀνθηρότατον.

κγ'. Εἶτα δεῖπνα ἐπὶ χρυσοῦ, (εὐτελὴς γὰρ ὁ ἄργυρος, καὶ οὐ
κατ' ἐμὲ) τάριχος μὲν ἐξ Ἰβηρίας, οἶνος δὲ ἐξ Ἰταλίας, ἔλαιον
δὲ ἐξ Ἰβηρίας καὶ τοῦτο, μέλι δὲ ἡμέτερον τὸ ἄπυρον, καὶ ὄψα

---

κα'. Σισύφιον) Σίσυφος γὰρ κατεδικάσθη ἐν ᾅδου πέτρον μέγαν ἐπ' ὤμων φέρων ἀνιέναι ἐπὶ τὴν κορυφὴν ὄρους· ἀλλὰ πλησίον τῆς κορυφῆς γενομένου, πάλιν ὁ πέτρος πίπτων ἀπὸ τῶν ὤμων κυλίεται, καὶ ὁ Σίσυφος ἀναλαμβάνει αὐτόν, καὶ τοῦτο διηνεκῶς.

3 Ὥσπερ τῷ Μίδᾳ) Οὗτος γὰρ ηὔξατο πάνθ', ὅσα ταῖς χερσὶ λαμβάνει, εἰς χρυσὸν μεταβάλλειν· οὕτως οὖν καὶ τοῦ βρώματος καὶ τοῦ ποτοῦ εἰς χρυσὸν μεταβάλλοντος, ἀποθανεῖν φασί.

κβ'. Οἷος ἁβρ.) Τὸ οἷος κατ' ἐπίτασιν κεῖται κατὰ τὸ ὡς, ὅτι, λίαν.

— Ἐφ' ὅσον) Ἐφ' ὅσον ἐστὶ δυνατόν, ἔσται ἥδιστος.

— Φίλων πρόσ.) Ἐν πᾶσιν ἐννοεῖται τὸ ὑπαρκτικὸν κατὰ τὴν χρείαν.

— Οἱ πάνυ) Οἱ ἔνδοξοι ἄνδρες. Τὸ γὰρ ἐπίῤῥημα ἐνάρθρως λεγόμενον ἀντὶ ἐπιθέτου κεῖται.

2. Βάρβαροι) Σύροι δηλαδὴ ἢ Μῆδοι· οὕτω γὰρ ἐκάλουν αὐτούς.

— Προσαραξάτωσαν ἐς τὸ μέτωπ.) Ἐν τῷ κλείειν δηλ. τὴν θύραν, τύψουσι δι' αὐτῆς τὸ μέτωπον αὐτῶν.

3. Τὴν ὥραν) Κατὰ τὴν ὥραν.

4. Ὅσον δισχ.) Ἕως δισχιλ. — Ὅ,τι περ τὸ ἀνθηρότ.) Τὸ ἄνθος ἁπάντων, τοὺς ἐκλεκτοτά[illegible]ους.

κγ'. Ἐξ Ἰβηρ.) Τῆς κάτω δὲ Ἰβηρίας τῆς πρὸς τὰ Γάδειρα λέγει. Πολλὰ γὰρ ἐκεῖθεν ἰχθυηρὰ ταρίχη ἐκομίζετο, ἰχθύας φερούσης οὐ κατὰ τὴν ἄλλην θάλασσαν, ἀλλὰ πολλῷ καὶ τῷ μεγέθει καὶ τῷ λίπει τοὺς ἄλλους παρευδοκιμοῦντας.

— Ἐξ Ἰταλ.) Ἐκαλεῖτο δὲ ὁ οἶνος οὗτος Φαλερνός.

—Μέλι ἡμέτ. τὸ ἄπυρ.) Ἐξ Ἀθηνῶν δὲ τὸ μέλι· ἄπυρον δὲ τὸ μὴ εἰς πῦρ τιθέν.

Ε.Γ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πανταχόθεν, καὶ σῦες, καὶ λαγὼς, καὶ ὅσα πτηνὰ, ὄρνις ἐκ Φάσιδος, καὶ ταὼς ἐξ Ἰνδίας, καὶ ἀλεκτρυὼν Νομαδικός· οἱ δὲ σκευάζοντες ἕκαστα, σοφισταί τινες, περὶ πέμματα καὶ χυμοὺς ἔχοντες. Εἰ δέ τινι προπίοιμι, σκῦφον ἢ φιάλην αἰτήσας, ὁ ἐκ- 2
πιὼν ἀποφερέτω καὶ τὸ ἔκπωμα.

κδʹ. Οἱ δὲ νῦν πλούσιοι πρὸς ἐμὲ Ἶροι καὶ προσαῖται δηλαδὴ ἅπαντες. Καὶ οὐκ ἔτι τὸ ἀργυροῦν πινάκιον, ἢ τὸν σκύφον ἐπιδείξεται Διόνικος ἐν τῇ πομπῇ, καὶ μάλιστα ἐπειδὰν ὁρᾷ τοὺς οἰ-
κέτας τοὺς ἐμοὺς ἀργύρῳ τοσούτῳ χρωμένους. Τῇ πόλει δὲ ταῦτα 2
παρ' ἐμοῦ ἐξαίρετα ὑπῆρξεν ἂν, αἱ μὲν διανομαὶ, κατὰ μῆνα ἕκαστον δραχμαὶ τῷ μὲν ἀστῷ ἑκατὸν, τῷ δὲ μετοίκῳ ἥμισυ τούτων· δημόσια δὲ ἐς κάλλος θέατρα, καὶ βαλανεῖα· καὶ τὴν θά-
λατταν ἄχρι πρὸς τὸ Δίπυλον ἥκειν, κἀνταῦθά που λιμένα εἶναι, 3
ἐπαχθέντος ὀρύγματι μεγάλῳ τοῦ ὕδατος, ὡς τὸ πλοῖόν μου πλησίον ὁρμεῖν, καταφανὲς ὂν ἐκ τοῦ Κεραμεικοῦ.

κεʹ. Τοῖς φίλοις δὲ ὑμῖν, Σαμίππῳ μὲν εἴκοσι μεδίμνους ἐπισήμου χρυσίου παραμετρῆσαι τὸν οἰκονόμον ἐκέλευσα ἂν, Τιμολάῳ δὲ πέντε χοίνικας, Λυκίνῳ δὲ χοίνικα, ἀπομεμαγμένην καὶ
ταύτην, ὅτι λάλος ἐστὶ, καὶ ἐπισκώπτει μου τὴν εὐχήν. Τοῦτον 2
ἐβουλόμην βιῶναι τὸν βίον, πλουτῶν ἐς ὑπερβολὴν, καὶ τρυφῶν,
καὶ πάσαις ἡδοναῖς ἀφθόνως χρώμενος. Εἴρηκα. Καί μοι ὁ 3
Ἑρμῆς τελεσιουργήσειεν αὐτά.

κςʹ. Λυκ. Οἶσθα οὖν, ὦ Ἀδείμαντε, ὡς πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὑτοσὶ πλοῦτος ἀπήρτηται, καὶ ἢν ἐκείνη ἀπορραγῇ, πάντα οἴχεται, καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται; —
Ἀδείμ. Πῶς λέγεις, ὦ Λυκῖνε; — Λυκ. Ὅτι, ὦ ἄριστε, ἄδηλον 2
ὁπόσον χρόνον βιώσεις πλουτῶν. Τίς γὰρ οἶδεν εἰ ἔτι παρακειμέ- 3
νης σοι τῆς χρυσῆς τραπέζης, πρὶν ἐπιβαλεῖν τὴν χεῖρα, καὶ ἀπογεύσασθαι τοῦ ταὼ, ἢ τοῦ Νομάδος ἀλεκτρυόνος, ἀποφυσήσας τὸ
ψυχίδιον ἄπει, γυψὶ καὶ κόραξι πάντα ἐκεῖνα καταλιπών; Ἢ ἐθέ- 4
λεις καταριθμήσομαί σοι τοὺς μὲν αὐτίκα πρὶν ἀπολαῦσαι τοῦ πλούτου ἀποθανόντας, ἐνίους δὲ καὶ ζῶντας ἀποστερηθέντας ὧν

— Νομαδικ.) Ἐκ τῆς Νομάδων γῆς.

— Σοφισταί τινες... ἔχοντ.) Τεχνῖται δηλ. ἐπιτήδειοι, καταγινόμενοι εἰς πέμματα καὶ χυμούς.

2. Προπίοιμί τινι) Πίνω εἰς ὑγείαν τινός. Ἐκείνη γὰρ ἡ Ἀττικὴ φράσις ταύτῃ τῇ καθ' ἡμᾶς κοινῇ ἀντεξετάζεται· ἡ σύνταξις. Εἰ δὲ αἰτήσας σκύφ. ἢ φιάλην προπίοιμί τινι, οὗτος ἐκπιὼν, λαβέτω καὶ τὸ ἔκπωμα.

κδʹ. Πρὸς ἐμ.) Παραβαλλόμ. δηλ. ἔσονται.

2. Ὑπῆρξεν ἂν) Ταῦτα δηλ. τῇ πόλει ἦν μοι κατὰ θυμὸν ἐξελεῖν.

— Ἀστῷ) Ἀστοὺς λέγει τοὺς αὐτόχθονας Ἀθηναίους. Μέτοικοι δὲ ἐλέγοντο, ὅσοι ἐξ ἀλλοδαπῆς ἐλθόντες ᾤκησαν εἰς Ἀθήνας καὶ κατὰ τὸν νόμον ἐπολιτογράφησαν.

κεʹ. Ἀπομεμαγμέν.) Ἐλλειπῆ καὶ κατεξυσμένην καὶ αὐτὴν οὖσαν.

3. Τελεσιουργ.) Εἴθε εἰς πέρας ἀγάγοι.

5 εἶχον, ὑπό τινος βασκάνου πρὸς τὰ τοιαῦτα δαίμονος; Ἀκούεις γάρ που τὸν Κροῖσον καὶ τὸν Πολυκράτην, πολὺ σοῦ πλουσιωτέρους γενομένους, ἐκπεσόντας ἐν βραχεῖ τῶν ἀγαθῶν ἁπάντων;

κζ'. Ἵνα δέ σοι καὶ τούτους ἀφῶ, τό,τε ὑγιαίνειν ἐχέγγυον οἴει σοι γενήσεσθαι, καὶ βέβαιον; ἢ οὐχ ὁρᾷς πολλοὺς τῶν πλουσίων κακοδαιμόνως διάγοντας ὑπὸ τῶν ἀλγηδόνων, τοὺς μὲν οὐδὲ βαδίζειν δυναμένους, ἐνίους δὲ τυφλοὺς, ἢ τῶν ἐντοσθίων τι ἀλγοῦντας;
2 Ὅτι μὲν γὰρ οὐκ ἂν ἕλοιο, πλουτῶν δὶς τοσοῦτον πλοῦτον, ὅμοια πάσχειν Φανομάχῳ τῷ πλουσίῳ, καὶ θηλύνεσθαι ὡς ἐκεῖνος, εὖ
3 οἶδα κἂν μὴ εἴπῃς. Ἐῶ λέγειν ὅσας ἐπιβουλὰς οἶδα μετὰ τοῦ πλούτου, καὶ λῃστὰς, καὶ φθόνον, καὶ μῖσος παρὰ τῶν πολλῶν.
4 Ὁρᾷς οἵων σοι πραγμάτων αἴτιος ὁ θησαυρὸς γίγνεται; — Ἀδείμ. Ἀεί σύ μοι, ὦ Λυκῖνε, ὑπεναντίος· ὥστε οὔτε τὴν χοινικίδα
5 ἔτι λήψῃ, ἐς τέλος μου τῆς εὐχῆς ἐπηρεάζων. — Λυκ. Τοῦτο μὲν ἤδη κατὰ τοὺς πολλοὺς τῶν πλουσίων ἀναδύῃ, καὶ ἀνακαλεῖς τὴν ὑπόσχεσιν. Ἀλλὰ σὺ ἤδη, ὁ Σάμιππος, εὔχου.

κη'. Σάμ. Ἐγὼ δὲ (ἠπειρώτης γάρ εἰμι, Ἀρκὰς, ἐκ Μαντινείας, ὡς ἴστε) ναῦν μὲν οὐκ αἰτήσομαι γενέσθαι, ἥν γε τοῖς πολίταις ἐπιδείξασθαι ἀδύνατον, οὐδὲ μικρολογήσομαι πρὸς τοὺς θεοὺς θησαυρὸν αἰτῶν, καὶ μεμετρημένον χρυσίον· ἀλλὰ (δύνανται γὰρ ἅπαντα οἱ θεοί, καὶ τὰ μέγιστα εἶναι δοκοῦντα, καὶ ὁ νόμος τῆς εὐχῆς, ὃν Τιμόλαος ἔθηκε, φήσας μηδὲν ὀκνεῖν αἰτεῖν, ὡς ἐκείνων πρὸς οὐδὲν ἀνανευόντων) αἰτῶ δὴ βασιλεὺς γενέσθαι, οὐχ οἷος Ἀλέξανδρος ὁ Φιλίππου, ἢ Πτολεμαῖος, ἢ Μιθριδάτης, ἢ εἴ τις
2 ἄλλος ἐκδεξάμενος τὴν βασιλείαν παρὰ πατρὸς, ἦρξεν· ἀλλά μοι τὸ πρῶτον ἀπὸ λῃστείας ἀρξαμένῳ, ἑταῖροι καὶ συνωμόται ὅσον τριάκοντα, πιστοὶ μάλα καὶ πρόθυμοι γενέσθωσαν· εἶτα κατ' ὀλίγον, τριακόσιοι προσιόντες ἡμῖν, ἄλλοι ἐπ' ἄλλοις· εἶτα χίλιοι, καὶ μετ' οὐ πολὺ, μύριοι· καὶ τὸ πᾶν εἰς πέντε μυριάδας τὸ ὁπλιτικὸν, ἱππεῖς δὲ ἀμφὶ τοὺς πεντακισχιλίους.

κθ'. Ἐγὼ δὲ χειροτονητὸς ὑφ' ἁπάντων προκριθεὶς ἄρχων, ἄριστος εἶναι δόξας ἀνθρώπων ἡγεῖσθαι, καὶ πράγμασι χρῆσθαι.

---

κς'. 5. Τὸν Κροῖσον καὶ Πολυκρ.) Περὶ ὧν Ἡρόδοτ. ἐν τῇ Α'. ὁ μὲν γὰρ Κροῖσος Κύρῳ αἰχμάλωτος ἐγένετο. Πολυκράτης δὲ ὑπὸ Ὀρόντου, σατράπου Σάρδεων, συλληφθεὶς δόλῳ, ἀνεσταυρώθη. Ἦν δὲ Κροῖσος μὲν βασιλεὺς Λυδῶν πλουσιώτατος, Πολυκράτης δὲ Σαμίων τύραννος εὐδαιμονέστατος.

κζ'. 2. Πλουτῶν πλ.) Ἀττικῶς· ὡς ἐπιβατικὴ δὲ ἡ σύνταξις.

4. Ἐς τέλος μου τῆς εὐχ. ἐπηρ.) Τὸ ἐπηρεάζω δοτικὴν ἀπαιτεῖ, ὅθεν ἐνταῦθα ἐννοεῖται τὸ μοί, ἵν' ᾖ μέχρι τέλους ἐπηρεάζων μοι ἕνεκα τῆς εὐχῆς μου ταύτης. Ἄλλως γὰρ ἔδει τῇ εὐχῇ εἰπεῖν ἢ γοῦν Ἐς τέλος μοι τῆς εὐχῆς ἐπηρεάζων.

κη'. 2. Ἄλλοι ἐπ' ἄλλ.) Ἐρχόμενοι δηλ. πρὸς ἡμᾶς ἄλλοι μετ' ἄλλους.

— Καὶ τὸ πᾶν) Καὶ πᾶν δηλ. τὸ ὁπλιτικὸν ἔστω ἕως πεντήκοντα χιλιάδας.

Ὡς τοῦτό γε αὐτὸ ἤδη μεῖζον εἶναι τῶν ἄλλων βασιλέων, ἅτε 2
ἀρετῇ προχειρισθέντα τῆς στρατιᾶς ἄρχειν, οὐ κληρονόμον γε-
νόμενον, ἄλλου πονήσαντος εἰς τὴν βασιλείαν. Ἐπεὶ τῷ Ἀδει-
μάντου θησαυρῷ παραπλήσιον τὸ τοιοῦτο, καὶ τὸ πρᾶγμα οὐχ 3
ὅμοιον ἡδὺ, ὥσπερ ὅταν ἴδῃ τις αὐτὸς δι' αὑτοῦ κτησάμενος τὴν
δυναστείαν. — Λυκ. Παπαὶ, ὦ Σάμιππε, οὐδὲν μικρὸν, ἀλλὰ 4
τὸ κεφάλαιον αὐτὸ τῶν ἀγαθῶν ἁπάντων σύγε ᾔτησας, ἄρχειν
ἀσπίδος τοσαύτης, ἄριστος δὴ προκριθεὶς ὑπὸ τῶν πεντακισμυ-
ρίων. Τοιοῦτον ἡμῖν ἡ Μαντίνεια θαυμαστὸν βασιλέα καὶ 5
στρατηγὸν ἐλελήθει ἀνατρέφουσα. Πλὴν ἀλλὰ βασίλευε, καὶ 6
ἡγοῦ τῶν στρατιωτῶν, καὶ διακόσμει τό,τε ἱππικὸν, καὶ τοὺς
ἀνέρας τοὺς ἀσπιδιώτας. Ἐθέλω γὰρ εἰδέναι οἳ βαδιεῖσθε το-
σοῦτοι ὄντες ἐξ Ἀρκαδίας, ἢ ἐπὶ τίνας ἀθλίους πρώτους ἀφί-
ξεσθε.

λ'. Σάμ. Ἄκουε, ὦ Λυκῖνε, μᾶλλον δὲ, εἴ σοι φίλον, ἀκολούθει
μεθ' ἡμῶν, ἵππαρχον γάρ σε τῶν πεντακισχιλίων ἀποφανῶ. —
Λυκ. Ἀλλὰ τῆς μὲν τιμῆς, ὦ βασιλεῦ, χάριν οἶδά σοι, καὶ 2
ὑποκύψας ἐς τὸ Περσικὸν, προσκυνῶ σε περιαγαγὼν ἐς τοὐπίσω
τὼ χεῖρε, τιμῶν τὴν τιάραν ὀρθὴν οὖσαν, καὶ τὸ διάδημα· σὺ δὲ
τῶν ἐῤῥωμένων τούτων τινὰ ποίησον ἵππαρχον. Ἐγὼ γάρ σοι 3
δεινῶς ἄφιππός εἰμι, καὶ οὐδὲ ὅλως ἐπέβην ἵππου ἐν τῷ πρὸ τοῦ
χρόνῳ, δέδια τοίνυν μὴ τοῦ σαλπιγκτοῦ ἐποτρύνοντος, κατα- 4
πεσὼν ἔγωγε, συμπατηθῶ ἐν τῇ τύρβῃ ὑπὸ τοσαύταις ὁπλαῖς, ἢ
καὶ θυμοειδὴς ὁ ἵππος ὢν, ἐξενέγκῃ με, τὸν χαλινὸν ἐνδακὼν,
ἐς μέσους τοὺς πολεμίους, ἢ δεήσει καταδεθῆναί με πρὸς τὸ ἐφίπ-
πειον, εἰ μέλλω μένειν τε ἄνω, καὶ ἔξεσθαι τοῦ χαλινοῦ.

λά. Ἀδείμ. Ἐγώ σοι, ὦ Σάμιππε, ἡγήσομαι τῶν ἱππέων·
Λυκῖνος δὲ τὸ δεξιὸν κέρας ἐχέτω. Δίκαιος δ' ἂν εἴην τυχεῖν παρὰ 2
σοῦ τῶν μεγίστων, τοσούτοις σε μεδίμνοις δωρησάμενος ἐπισή-

---

κθ'. 2. Ὡς τοῦτό γε αὐτὸ μεῖζ.) Ὥστε τοῦτο δὴ αὐτὸ μεῖζον τῶν ἄλλων βασιλέων τὸ ἄρχειν με τῆς στρατιᾶς ὡς προχειρισθέντα δι' ἀρετήν.

3. Τὸ τοιοῦτο) Τὸ κληρονόμον γενέσθαι εἰς τὴν βασιλείαν, ἄλλου πονήσαντος.

— Οὐχ ὅμοιον ἡδ.) Οὐκ ἔχει τὴν αὐτὴν ἡδονὴν ἣν ἔχει ὅταν καὶ τ. λ.

6. Ἀνέρας) Τοὺς ἄνδρας ποιητικώτερον ἐξήνεγκεν, ἵν' ἔμφασιν ἔχῃ ὁ λόγος· εἴληπται δὲ ἐκ τοῦ Ὁμ. Ἰλ. Β. στίχ. 554.

Κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

Περὶ Νέστορος ῥηθέν.

λ'. 2. Ἐς τὸ Περσικ.) Κατὰ τὸ Περσικὸν ἔθος. Πέρσαι γὰρ προσεκύνουν, Ἕλληνες δ' οὔ. Εἴληπται δὲ καὶ ταῦτα ἐκ τῶν Ξενοφ. Κύρ. Παιδ. Η'. γ'. ζ. ἔνθα περὶ ἐξελάσεως Κύρου εἰς θυσίαν διέξεισι Ξενοφ.

— Τῶν ἐῤῥωμέν.) Φησὶ γὰρ Ξενοφ. ὡς ἐκάλεσε Κῦρος ἐν τῇ ἐξελάσει, οὓς μάλιστα ἐτίμα, καὶ ἠρώτα αὐτούς τινα.

3. Πρὸ τοῦ) Πρὸ τούτου δηλ.

4. Πρὸς τὸ ἐφίππειον) Τὸ ἐπιτιθέμενον τῷ ἵππῳ, ἐφ' οὗ ὁ ἐπιβάτης κάθηται ὃ νῦν καλεῖται σέλλα.

λά. 2. Τοσούτοις σε μεδίμνοις) δωροῦμαί σε τούτῳ ὀργανικῶς· καὶ δωροῦμαί σοι

Ε.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μου χρυσίου. — Σάμ. Καὶ αὐτοὺς ἐρώμεθα, ὦ Ἀδείμαντε, τοὺς
3 ἱππέας, εἰ δέξονταί σε ἄρχοντα σφῶν γενέσθαι. Ὅτῳ δοκοῖ, ὦ ἱπ-
πεῖς, Ἀδείμαντον ἱππαρχεῖν, ἀνατεινάτω τὴν χεῖρα· πάντες, ὡς
4 ὁρᾷς, ὦ Ἀδείμαντε, ἐχειροτόνησαν. Ἀλλὰ σὺ μὲν ἄρχε τῆς ἵππου,
Λυκῖνος δὲ ἐχέτω τὸ δεξιόν· οὑτοσὶ δὲ Τιμόλαος ἐπὶ τοῦ εὐωνύμου
τετάξεται. Ἐγὼ δὲ κατὰ μέσον, ὡς νόμος βασιλεῦσι τῶν Περσῶν,
ἐπειδὰν αὐτοὶ συμπαρῶσι.

λϐ΄. Προΐωμεν δὲ ἤδη τὴν ἐπὶ Κορίνθου διὰ τῆς ὀρεινῆς, ἐπευ-
2 ξάμενοι τῷ βασιλεῖ Διΐ. Κἀπειδὰν τὰ ἐν τῇ Ἑλλάδι πάντα χει-
ρωσώμεθα, (οὐδεὶς γὰρ ὁ ἐναντιωθησόμενος ἡμῖν τὰ ὅπλα τοσούτοις
οὖσιν, ἀλλ' ἀκονιτὶ κρατοῦμεν) ἐπιβάντες ἐπὶ τὰς τριήρεις, καὶ
τοὺς ἵππους εἰς τὰς ἱππαγωγοὺς ἐμβιβάσαντες (παρεσκεύασται
δ' ἐν Κεγχρεαῖς καὶ σῖτος ἱκανὸς, καὶ τὰ πλοῖα διαρκῆ, καὶ τἄλλα
3 πάντα) διαβάλλωμεν τὸν Αἰγαῖον ἐς τὴν Ἰωνίαν. Εἶτα ἐκεῖ τῇ
Ἀρτέμιδι θύσαντες, καὶ τὰς πόλεις ἀτειχίστους λαβόντες ῥᾳδίως,
ἄρχοντας ἀπολιπόντες, προχωρῶμεν ἐπὶ Συρίας διὰ Καρίας, εἶτα
Λυκίας, καὶ Παμφυλίας, καὶ Πισίδων, καὶ τῆς παραλίου καὶ ὀρει-
νῆς Κιλικίας, ἄχρις ἂν ἐπὶ τὸν Εὐφράτην ἀφικώμεθα.

λγ΄. Λυκ. Ἐμὲ, ὦ βασιλεῦ, εἰ δοκεῖ, Σατράπην τῆς Ἑλ-
λάδος κατέλιπε. Δειλὸς γάρ εἰμι, καὶ τῶν οἴκοι πολὺ ἀπελ-
2 θεῖν οὐκ ἂν ἡδέως ὑπομείναιμι· σὺ δὲ ἔοικας ἐπὶ Ἀρμενίους
καὶ Παρθυαίους ἐλάσειν, μάχιμα φῦλα, καὶ τὴν τοξικὴν εὔ-
στοχα, ὥστε ἄλλῳ παραδοὺς τὸ δεξιὸν, ἐμὲ Ἀντίπατρόν
τινα ἔασον ἐπὶ τῆς Ἑλλάδος, μή με καὶ διαπείρῃ τις οἰστῷ,
ἄθλιον βαλὼν ἐς τὰ γυμνὰ, περὶ Σοῦσα ἢ Βάκτρα ἡγούμε-
3 νόν σοι τῆς φάλαγγος. — Σάμ. Ἀποδιδράσκεις, ὦ Λυκῖνε, τὸν
κατάλογον, δειλὸς ὤν. Ὁ δὲ νόμος ἀποτετμῆσθαι τὴν κεφαλὴν,
εἴτις λιπὼν φαίνοιτο τὴν τάξιν. Ἀλλ' ἐπεὶ κατὰ τὸν Εὐφρά-
4 την ἤδη ἐσμὲν, καὶ ὁ ποταμὸς ἔζευκται, καὶ κατόπιν ὁπόσα

---

τοῦτο περιποιητικῶς. Συντάσσεται δὲ καὶ κατὰ τοὺς δύο τούτους τρόπους, ὡς ἂν τὰ τῆς ἐννοίας ἀπαιτοίη.

λϐ΄ Τὴν ἐπὶ Κορίνθ.) Ἄγουσαν ὁδὸν· διὰ τῆς ὀρεινῆς γῆς ἡ ὁδοῦ.

2. Τὰ ὅπλα τοσοῦτ.) Κατὰ τὰ ὅπλα οὖσι δηλ. τοσούτοις ἐνόπλοις.

— Ἱππαγωγοὺς) Ναῦς.

— Διαβάλλωμεν τὸν Αἰγ.) Διέλθωμεν τὸν Αἰγαῖον πόντον, ἢ πλοῦν, ἤ τι τοιοῦτον ἀντὶ τὸ Αἰγαῖον πέλαγος. Αἰγεὺς γὰρ ὁ πατὴρ Θησέως ἀπογνοὺς τὴν ἀπὸ τῆς Κρήτης αὐτοῦ ἐπάνοδον, ἔῤῥιψεν ἑαυτὸν εἰς τὴν θάλασσαν· καὶ ἀπ' αὐτοῦ ἐκλήθη Αἰγαῖων τὸ πέλαγος.

3. Τῇ Ἀρτέμιδι θύσ.) Ἐν Ἰωνίᾳ γὰρ ἡ Ἔφεσος· ἔνθα ὁ περίφημος ἐκεῖνος ναὸς τῆς Ἀρτέμιδος ἦν, τῶν ἑπτὰ θεαμάτων τὸ ἕν.

λγ΄. 2. Ἀντίπατρόν τινα ἔασ.) Ἀλέξανδρος γὰρ περαιούμενος τὸν Ἑλλήσποντον, κατὰ τῶν Περσῶν στρατεύων, κατέλιπεν ἀνθ' ἑαυτοῦ ἐπὶ τῆς Εὐρώπης τὸν Ἀντίπατρον. Οὕτω δὴ καὶ τὰ ἑξῆς κατὰ τὴν Ἀλεξάνδρου εἰς Ἀσίαν ἐκστρατείαν ἐν παιδιᾷ ἐσχημάτισται, ἀπ' ἐκείνης τὴν ἀρχὴν ἔχοντα.

3. Ἀποδιδράσκεις τὸν κατάλ.) Παραιτῇ, ἀποφεύγεις τὴν ἐκλογὴν, ἣν περὶ σοῦ ἐποιησάμην.

— Ὁ δὲ νόμος) Λέγει.

διεληλύθαμεν ἀσφαλῶς ἡμῖν ἔχει, καὶ πάντα ὕπαρχοι κατέ-
χουσιν, ὑπ᾽ ἐμοῦ ἑκάστῳ ἔθνει ἐπεισαχθέντες, οἱ δὲ καὶ ἀπία-
σι, τὴν Φοινίκην ἡμῖν ἐν τοσούτῳ, καὶ τὴν Παλαιστίνην, εἶ-
τα καὶ τὴν Αἴγυπτον προσαξόμενοι· σὺ πρῶτος, ὦ Λυκῖνε, διέ- 5
βαινε, τὸ δεξιὸν ἄγων, εἶτα ἐγὼ, καὶ μετ᾽ ἐμὲ οὑτοσὶ Τιμό-
λαος. Ἐπὶ πᾶσι δὲ τὸ ἱππικὸν ἄγε σὺ, ὦ Ἀδείμαντε.

λδ΄. Καὶ διὰ μὲν τῆς Μεσοποταμίας οὐδεὶς ἀπήντηκεν ἡ-
μῖν πολέμιος, ἀλλ᾽ ἑκόντες αὐτούς τε καὶ τὰς ἀκροπόλεις ἄν-
θρωποι ἐνεχείρισαν, καὶ ἐπὶ Βαβυλῶνα ἐλθόντες ἀπροσδόκητοι
παρήλθομεν εἰς τὸ εἴσω τῶν τειχῶν, καὶ ἔχομεν τὴν πόλιν. Ὁ 2
βασιλεὺς δὲ περὶ Κτησιφῶντα διατρίβων, ἤκουσε τὴν ἔφοδον·
εἶτα εἰς Σελεύκειαν παρελθὼν, παρασκευάζεται ἱππέας τε ὅτι πλεί-
στους μεταπεμπόμενος, καὶ τοξότας, καὶ σφενδονήτας. Ἀπαγγέλ- 3
λουσι δ᾽ οὖν οἱ σκοποὶ ἀμφὶ τὰς ἑκατὸν ἤδη μυριάδας τοῦ μα-
χίμου συνειλέχθαι, καὶ τούτων εἴκοσιν ἱπποτοξότας· καίτοι οὔ-
πω ὁ Ἀρμένιος πάρεστιν, οὔτε οἱ κατὰ τὴν Κασπίαν θάλατ-
ταν οἰκοῦντες, οὔτε οἱ ἀπὸ Βάκτρων, ἀλλ᾽ ἐκ τῶν πλησίων καὶ
προαστείων τῆς ἀρχῆς· οὕτω ῥαδίως τοσαύτας μυριάδας κατέ-
λεξε. Καιρὸς οὖν ἤδη σκοπεῖν ἡμᾶς ὅ,τι χρὴ ποιεῖν.

λε΄. Ἀδείμ. Ἀλλ᾽ ἐγὼ μέν φημι δεῖν ὑμᾶς τὸ πεζὸν ἀπιέ-
ναι τὴν ἐπὶ Κτησιφῶντος, ἡμᾶς δὲ τὸ ἱππικὸν αὐτοῦ μένειν,
τὴν Βαβυλῶνα διαφυλάξοντας. — Σάμ. Ἀποδειλιᾷς καὶ σὺ, ὦ 2
Ἀδείμαντε, πλησίον τοῦ κινδύνου γενόμενος. Σοὶ δὲ τί δοκεῖ,
ὦ Τιμόλαε; — Τιμόλ. Ἁπάσῃ τῇ στρατιᾷ βαδίζειν ἐπὶ τοὺς 3
πολεμίους, μηδὲ περιμένειν ἐς τ᾽ ἂν ἄμεινον παρασκευάσων-
ται, πανταχόθεν αὐτοῖς συμμάχων προσγενομένων, ἀλλ᾽ ἕως 4
ἔτι καθ᾽ ὁδόν εἰσιν οἱ πολέμιοι, ἐπιχειρῶμεν αὐτοῖς. — Σάμ.
Εὖ λέγεις· σὺ δὲ τί, ὦ Λυκῖνε, δοκιμάζεις; — Λυκ. Ἐγώ σοι 5
φράσω. Ἐπειδὴ κεκμήκαμεν συντόνως ὁδεύοντες, ὁπότε κατῄει-
μεν ἕωθεν ἐς τὸν Πειραιᾶ, καὶ νῦν δὲ ἤδη τριάκοντά που στα-
δίους προκεχωρήκαμεν, καὶ ὁ ἥλιος πολὺς, κατὰ μεσημβρίαν
γὰρ ἤδη μάλιστα, ἐνταῦθα που ἐπὶ τὰς ἐλαίας ἐπὶ τῆς ἀνα-
γεγραμμένης στήλης καθίσαντας ἀναπαύσασθαι, εἶτα οὕτως ἀ-
ναστάντας πορεύεσθαι, καὶ ἀνύειν τὸ λοιπὸν ἐς τὸ ἄστυ. — Σάμ. 6
Ἔτι γὰρ Ἀθήνησιν, ὦ μακάριε, εἶναι δοκεῖς, ὃς ἀμφὶ Βαβυ-
λῶνα ἐν τῷ πεδίῳ, πρὸ τῶν τειχῶν ἐν τοσούτοις στρατιώταις
κάθησαι περὶ τοῦ πολέμου διασκοπούμενος; — Λυκ. Ὑπέμνη- 7

4. Οἱ δὲ) Ἄλλοι δὲ, τινὲς δέ.
λδ΄. 3. Εἴκοσι) Μυριάδας δηλ.
λε΄. 5. Ἐπὶ τῆς ἀναγεγραμμένης στήλ.) Δοκεῖ γὰρ στήλη τις οὖσα ὑπὸ τὰς ἐλαίας ἀνατετραμμένη· ἐφ᾽ ἧς ἀναπαύσασθαι τοὺς φίλους παρεκάλει Λυκῖνος.

σας· ἐγὼ δὲ νήφειν ᾤμην, καὶ σὺ παρὰ τὸ φανεῖσθαι τὴν γνώμην.

λϛ'. Σάμ. Πρόσιμεν δὴ, εἴ σοι δοκεῖ, καὶ ὅπως ἄνδρες ἀγαθοὶ ἐν τοῖς κινδύνοις ἔσεσθε, μηδὲ προδώσετε τὸ πάτριον φρόνημα· ἤδη γάρ που καὶ οἱ πολέμιοι ἐπιλαμβάνουσιν. Ὥστε τὸ
2 μὲν σύνθημα ἔστω, Ἐνυάλιος. Ὑμεῖς δὲ, ἐπειδὰν σημάνῃ ὁ σαλπιγκτὴς, ἀλαλάξαντες, καὶ τὰ δόρατα κρούσαντες πρὸς τὰς ἀσπίδας, ἐπείγεσθε συμμίξαι τοῖς ἐναντίοις, καὶ ἐντὸς γενέσθαι τῶν τοξευμάτων, ὡς μηδὲ πληγὰς λαμβάνωμεν, ἀκρο-
3 βολίζεσθαι αὐτοῖς διδόντες· καὶ ἐπειδὴ ἐς χεῖρας ἤδη συνεληλύθαμεν, τὸ μὲν εὐώνυμον, καὶ ὁ Τιμόλαος, ἐτρέψαντο τοὺς
4 καθ' αὐτοὺς, Μήδους ὄντας, τὸ δὲ κατ' ἐμὲ ἰσόπαλον ἔτι. Πέρσαι γάρ εἰσι, καὶ ὁ βασιλεὺς ἐν αὐτοῖς· ἡ δὲ ἵππος ἅπασα τῶν βαρβάρων ἐπὶ τὸ δεξιὸν ἡμῶν ἐλαύνουσιν, ὥστε, ὦ Λυκῖνε, αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, καὶ τοῖς μετὰ σαυτοῦ παρακελεύου δέχεσθαι τὴν ἐπέλασιν.

λζ'. Λυκ. Ὢ τῆς τύχης, ἐπ' ἐμὲ γὰρ οἱ ἱππεῖς ἅπαντες, καὶ μόνος ἐπιτήδειος αὐτοῖς ἔδοξα ἐπελαύνεσθαι· καί μοι δοκῶ, ἢν βιάζωνται αὐτομολήσειν, προσδραμὼν ἐς τὴν παλαίστραν,
2 ἔτι πολεμοῦντας ὑμᾶς καταλιπών. — Σάμ. Μηδαμῶς. Κρατεῖς γὰρ αὐτῶν καὶ σὺ ἤδη τὸ μέρος· ἐγὼ δὲ ὡς ὁρᾷς, καὶ μονομαχήσω πρὸς τὸν βασιλέα, προκαλεῖται γάρ με, καὶ ἀ-
3 ναδῦναι πάντως αἰσχρόν. — Λυκ. Νὴ Δία, καὶ τετρώσῃ αὐτίκα μάλα πρὸς αὐτοῦ· βασιλικὸν γὰρ καὶ τὸ τρωθῆναι περὶ τῆς
4 ἀρχῆς μαχόμενον. — Σάμ. Εὖ λέγεις, ἐπιπόλαιον μέν μοι τὸ τραῦμα, καὶ οὐκ εἰς τὰ φανερὰ τοῦ σώματος· ὡς μηδὲ τὴν οὐλὴν ὕστερον ἄμορφον γενέσθαι· πλὴν ἀλλὰ ὁρᾷς ὅπως ἐπελάσας, μιᾷ πληγῇ αὐτόν τε καὶ τὸν ἵππον διέπειρα, τὴν λόγ-
5 χην ἀφείς; Εἶτα τὴν κεφαλὴν ἀποτεμὼν, καὶ ἀφελὼν τὸ διάδημα, βασιλεὺς ἤδη γέγονα, προσκυνούμενος ὑφ' ἁπάντων.

λη'. Οἱ βάρβαροι προσκυνήτωσαν· ὑμῶν κατὰ τὸν Ἑλλη-

---

7. Καὶ σὺ παρὰ τὸ φαν.) Καὶ σὺ εἶ παρὰ τὸν καιρὸν τοῦ φανεῖσθαι τὴν γνώμην. Ἤτοι καιρὸς ἤδη σοι εἰπεῖν τὴν γνώμην. Ἄλλως γὰρ ἡμαρτημένον, καὶ δυσξύνετον δοκεῖ τὸ χωρίον.

λϛ'. Καὶ ὅπως) Ὑπακούεται, ὁρᾶτε, σκοπεῖτε· καὶ τὰ τούτοις παραπλήσια· ἐπὶ γὰρ τοῦ τροπολογικοῦ Ὅπως συνήθης ἡ ἔλλειψις αὕτη.

2. Τὸ σύνθημα) Ἔθος γὰρ ἦν, ὁπότε εἰς μάχην συμπλέκεσθαι ἔδει, λέξιν τινὰ ἢ φράσιν τοῖς στρατιώταις λέγειν, ᾗ χρώμενοι διακρίνουσι τοὺς πολεμίους· καὶ τοῦτο ἦν τὸ σύνθημα.

4. Δέχεσθαι τὴν ἐπέλ.) Στῆναι καὶ ἀπαντᾷν τοὺς ἐπελαύνοντας τοῖς ἵπποις, καὶ μὴ φεύγειν. Τῷ ἀφῃρημένῳ γὰρ ἀντὶ τοῦ συγκεκριμένου ἐχρήσατο, τὴν ἐπέλασιν εἰπὼν ἀντὶ τοὺς ἐπελαύνοντας.

λζ'. 2. Καὶ ἀναδῦν.) Καὶ μὴ δεχθῆναι τὴν πρόκλησιν. Μεταφορικῶς ἀπὸ τοῦ ἀποδύεσθαι τὰ ἱμάτια εἴληπται· ὥσπερ καὶ τοὐναντίον τὸ ἐνδύεσθαι τὸν ἀγῶνα.

λη'. Εἷς στρατηγ.) Καὶ οὐχὶ βασιλεύς·

γων νόμον ἄρξω, εἷς στρατηγὸς ὀνομαζόμενος. Ἐπὶ τούτοις ἄ- 2
ρα ἐννοεῖτε ὅσας μὲν πόλεις ἐπωνύμους ἐμαυτοῦ οἰκιῶ, ὅσας δὲ καὶ καθαιρήσω ἑλὼν κατὰ κράτος, αἳ ἂν ὑβρίσωσί τι ἐς τὴν ἀρχήν· ἁπάντων δὲ μάλιστα Κυδίαν τὸν πλούσιον μετελεύσομαι, ὃς ὅμορος ἤδη ὤν μοι, ἐξέωσε τοῦ ἀγροῦ, ἐπιβαίνων κατ᾽ ὀλίγον ἐς τὸ εἴσω τῶν ὅρων.

λθ΄. Λυκ. Πέπαυσο ἤδη, ὦ Σάμιππε, καιρὸς γάρ σε ἤδη μὲν νενικηκότα τηλικαύτην μάχην, ἐν Βαβυλῶνι εὐωχεῖσθαι τὰ ἐπινίκια, (ἐκστάδιος γάρ, οἶμαί σοι, ἡ ἀρχή) Τιμόλαον δὲ ἐν τῷ μέρει εὔχεσθαι, ὅπερ ἂν ἐθέλῃ.—Σάμ. Τί δ᾽ οὖν, ὦ Λυ- 2
κῖνε, οἷά σοι ᾐτῆσθαι δοκῶ;—Λυκ. Παρὰ πολύ, ὦ θαυμασιώτατε βασιλέων, ἐπιπονώτερα καὶ βιαιότερα τῶν Ἀδειμάντου, παρ᾽ ὅσον ἐκεῖνος μὲν ἐτρύφα, διτάλαντα χρύσεα ἐκπώματα προτείνων τοῖς συμπόταις, σὺ δέ, καὶ ἐτιτρώσκου μονομαχῶν, καὶ ἐδεδίεις, καὶ ἐφρόντιζες νύκτωρ, καὶ μεθ᾽ ἡμέραν· οὐ μόνον γάρ σοι τὰ παρὰ τῶν πολεμίων φοβερὰ ἦν, ἀλλὰ καὶ ἐπιβουλαὶ μυρίαι, καὶ φθόνος παρὰ τῶν συνόντων, καὶ μῖσος, καὶ κολακεία, φίλος δὲ οὐδεὶς ἀληθής, ἀλλὰ πρὸς τὸ δέος ἅπαντες, ἢ πρὸς τὴν ἐλπίδα εὖνοι δοκοῦντες εἶναι. Ἀπό- 3
λαυσις μέν γε, οὐδὲ ὄναρ τῶν ἡδέων, ἀλλὰ δόξα μόνον, καὶ πορφυρὶς χρυσῷ ποικίλη, καὶ ταινία λευκὴ περὶ τῷ μετώπῳ, καὶ δορυφόροι προϊόντες. Τὰ δ᾽ ἄλλα κάματος ἀφόρητος, καὶ 4
ἀηδία πολλή· καὶ ἢ χρηματίζειν τοῖς παρὰ τῶν πολεμίων ἥκουσι δεῖ ἢ δικάζειν, ἢ καταπέμπειν τοῖς ὑπηκόοις ἐπιτάγματα. Καὶ ἤτοι ἀφέστηκέ τι ἔθνος, ἢ ἐπελαύνουσί τινες τῶν ἔξω 5
τῆς ἀρχῆς. Δεδιέναι οὖν δεῖ πάντα, καὶ ὑφορᾶσθαι. Καὶ ὅλως ὑπὸ πάντων μᾶλλον ἢ ὑπὸ σεαυτοῦ εὐδαιμονίζεσθαι.

μ΄. Καὶ γὰρ οὖν καὶ τόδε πῶς οὐ ταπεινόν, ὅτι καὶ νοσεῖς τὰ ὅμοια τοῖς ἰδιώταις, καὶ ὁ πυρετὸς οὐ διαγιγνώσκει σε βασιλέα ὄντα· οὐδὲ ὁ θάνατος δέδιε τοὺς δορυφόρους, ἀλλ᾽ ἐπιστάς,

---

ὡς ἦν ἔθος ἐν Ἀθήναις· οὕτω γὰρ καὶ Ἀλέξανδρος στρατηγὸς Ἑλλήνων ὠνομάζετο.

2. Κυδίαν . . . μετελ.) Ἐκδικήσομαι, ἢ ἀποκτενῶ.

λθ΄. Ἐκστάδιος γάρ) Ἐκτὸς τῶν ἐπιβαλλόντων σοι σταδίων κατὰ τὴν ἐξ ἀρχῆς συνθήκην· συνέθεντο γὰρ τετραχῇ διελεῖν τὴν ὁδόν· καὶ αἰτεῖν ἕκαστον κατὰ τοὺς ἐπιβάλλοντας αὐτῷ σταδίους. ιϛ΄.

— Τιμόλαον δέ) Καιρὸς ἤδη ἐστί. Τιμόλαον.

2. Οἷά σοι ᾐτῆσθαι δοκῶ) Πῶς δοκεῖ σοι ταῦτα, ἃ ᾐτησάμην.

— Παρ᾽ ὅσον) Καθ᾽ ὅ,τι, ἐπειδή. Εἴληπται διὰ τὸ παρὰ πολύ· ἀνάλογος γὰρ ἡ παρὰ εἰς ἀπόδοσιν.

— Νύκτωρ καὶ μεθ᾽ ἡμέραν) Οὕτως εἴθισται τοῖς Ἀττικισταῖς τὸ μέν, ἐπιρρηματικῶς, τὸ δέ, προθετοπτώτως λέγειν, καὶ ἔστιν ἰδίωμα Ἑλληνισμοῦ.

3. Οὐδὲ ὄναρ) Οὐδὲ κατ᾽ ὄναρ οὐκ ἦν ἐν τῇ εὐχῇ ἀπόλαυσις τῶν ἡδ.

— Ταινία λευκή) Τοῦτο ἦν, ὅπερ ἐκαλεῖτο διάδημα, βασιλικὸν σημεῖον.

4. Καταπέμπ.) ἡ κατὰ κακότητα δηλοῖ ἐνταῦθα.



Ε.Σ.Ε. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁπόταν αὐτῷ δοκεῖ, ἄγει οἰμώζοντα· οὐκ αἰδούμενος τὸ διάδημα;
2 Σὺ δὲ ὁ οὕτως ὑψηλὸς καταπεσών, ἀνάσπαστος ἐκ τοῦ βασιλείου θρόνου τὴν αὐτὴν ὁδὸν ἄπει, τοῖς πολλοῖς ἰσότιμος, ἐλαυνόμενος ἐν τῇ ἀγέλῃ τῶν νεκρῶν, χῶμα ὑψηλὸν ὑπὲρ γῆς, καὶ στήλην μακράν, ἢ πυραμίδα εὔγραμμον τὰς γωνίας ἀπολιπών, ἐκπρόθεσμα καὶ ἀνεπαίσθητα φιλοτιμήματα· εἰκόνες δὲ ἐκεῖναι, καὶ νεώς, οὓς ἀνιστᾶσιν αἱ πόλεις θεραπεύουσαι, καὶ τὸ μέγα ὄ-
3 νομα, πάντα κατ᾽ ὀλίγον ἀποῤῥεῖ, καὶ ἄπεισιν ἀμελούμενα. Ἢν δὲ καὶ ὅτι μάλιστα ἐπὶ πλεῖστον παραμένῃ, τίς ἔτι ἀπόλαυσις
4 ἀναισθήτῳ αὐτῶν γενομένῳ; Ὁρᾷς οἷα μὲν ζῶν ἔτι ἕξεις πράγματα δεδιώς, καὶ φροντίζων, καὶ κάμνων, οἷα δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν ἔσται.

μά. Ἀλλ᾽ ἤδη σὸν αἰτεῖν, ὦ Τιμόλαε, καὶ ὅπως ὑπερβάλῃ τούτους, ὥσπερ εἰκὸς ἄνδρα συνετόν, καὶ πράγμασι χρῆσθαι
2 εἰδότα. — Τιμ. Σκόπει γοῦν, ὦ Λυκῖνε, εἴ τι ἐπιλήψιμον εὔξομαι, καὶ ὅ,τι ἂν εὐθύναι τὶς δυνηθείη. Χρυσὸν μὲν οὖν, καὶ θησαυρούς, καὶ μεδίμνους νομίσματος, ἢ βασιλείας, καὶ πολέμους, καὶ δείματα ὑπὲρ τῆς ἀρχῆς, ἃ εἰκότως διέβαλες, οὐκ αἰτήσομαι· ἀβέβαια γὰρ ταῦτά γε, καὶ πολλὰς τὰς ἐπιβουλὰς ἔχοντα, καὶ πλέον τοῦ ἡδέος τὸ ἀνιαρὸν ἐν αὐτοῖς ἦν.

μβ΄. Ἐγὼ δὲ βούλομαι τὸν Ἑρμῆν ἐντυχόντα μοι δοῦναί τινας δακτυλίους τοιούτους τὴν δύναμιν, ἕνα μέν, ὥστε ἀεὶ ἐῤῥῶσθαι καὶ ὑγιαίνειν τὸ σῶμα, καὶ ἄτρωτον εἶναι, καὶ ἀπαθῆ· ἕτερον δέ, ὡς μὴ ὁρᾶσθαι τὸν περιθέμενον, οἷος ἦν ὁ τοῦ Γύγου· τὸν δέ τινα, ὡς ἰσχύειν ὑπὲρ ἄνδρας μυρίους, καὶ ὅ,τι ἂν ἄχθος ἅμα μυρίοι κινῆσαι μόλις δύναιντο, τοῦτό με ῥᾳδίως μόνον ἀνατίθεσθαι· ἔτι δὲ καὶ πέτεσθαι, πολὺ ἀπὸ τῆς γῆς ἀρθέντα· καὶ πρὸς τοῦτό μοι εἶναι δακτύλιόν τινα, καὶ μὴν καὶ ἐς ὕπνον κατασπᾷν, ὁπόσους ἂν ἐθέλω, καὶ ἅπασαν θύραν προσιόντι μοι ἀνοίγεσθαι, χαλωμέ-

---

μ΄. 2. Εὔγραμμον τὰς γωνίας) Κατὰ τὰς γωνίας. Γεγραμμένην, ἤγουν ἐξεσμένην ἐπιτηδείως κατὰ τὰς γωνίας.

— Ἐκπρόθεσμα) Ἔξω τῆς προθεσμίας καὶ τοῦ σκοποῦ.

— Καὶ νεώς) Ἀττικῶς, καὶ ναὸς δὲ κοινῶς· τὴν γὰρ μακρὰν παραλήγουσαν συστέλλοντες οἱ Ἀττικοί, καὶ τὴν λήγουσαν ἐκτείνοντες τὰ εἰς ος προφέρουσιν ὀνόματα· οἷον· ναός, νεώς, λαὸς λεώς.

3. Καὶ ὅτι μάλιστα ἐπὶ πλεῖστον) Ἐπίτασις ὑπερβολική· τό, τε γὰρ μάλιστα, καὶ τὸ ὅτι ἐπιτατικά· δηλοῖ δέ, ὅτι, ὅσον πλείονα χρόνον καὶ ἂν παραμένῃ ταῦτα, ὄφελος οὐδέν.

μά. Καὶ ὅπως) Καὶ ὅρα, σκόπει ὅπως· ὅρα λς΄.

2. Ἐπιλήψιμον) Μορφῆς ἄξιον.

μβ΄. Δακτυλίους) Περὶ τούτου τοῦ δακτυλίου καὶ Πλάτων Πολιτικ. β΄. καὶ Λουκιαν. Φιλοψευδ. ιζ΄. κδ΄.

— Ὁ τοῦ Γύγου) Δακτύλιος δηλ. περὶ οὗ φασὶν ὅτι τοιαύτην εἶχε δύναμιν, ὥστε, στρεφομένης τῆς σφενδόνης, ἀθέατον γίγνεσθαι τὸν φοροῦντα· ταύτην φησὶ Πλάτων φορῶν Γύγης, ἀθέατος εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ τότε βασιλεύοντος, καὶ κτείνας, ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ.

νου τοῦ κλείθρου, καὶ τοῦ μοχλοῦ ἀφαιρουμένου. Ταῦτα ἀμφότερα εἷς δακτύλιος δυνάσθω.

μγ΄. Τὸ δὲ μέγιστον ἄλλος τις ἔστω ἐπὶ πᾶσιν ὁ ἥδιστος, ὡς ἐράσμιον εἶναί με, περιθέμενον, παισὶ τοῖς ὡραίοις, καὶ γυναιξὶ, καὶ δήμοις ὅλοις, καὶ μηδένα εἶναι ἀνέραστον, καὶ ὅτῳ μὴ πο-
θεινότατος ἐγὼ, καὶ ἀνὰ στόμα· ὥστε πολλὰς γυναῖκας οὐ φε- 2
ρούσας τὸν ἔρωτα, καὶ ἀναρτᾷν ἑαυτὰς, καὶ τὰ μειράκια ἐπιμεμηνέναι μοι, καὶ εὐδαίμονα εἶναι δοκεῖν, εἴ τινα καὶ μόνον προσβλέψαιμι αὐτῶν, εἰ δ᾽ ὑπερορῴην, κἀκεῖνα ὑπὸ λύπης ἀπολλύσθω· καὶ ὅλως ὑπὲρ τὸν Ὑάκινθον, ἢ Ὕλαν, ἢ Φάωνα τὸν Χῖον εἶναί με.

μδ΄. Καὶ ταῦτα πάντα ἔχειν, μὴ ὀλιγοχρόνιον ὄντα, μηδὲ κατὰ μέτρον ζῶντα τῆς ἀνθρωπίνης βιοτῆς, ἀλλ᾽ ἔτη χίλια, νέον ἐκ νέου γιγνόμενον διαβιῶναι, ἀμφὶ τὰ ἑπτακαίδεκα ἔτη ἀεὶ απο-
δυόμενον τὸ γῆρας, ὥσπερ οἱ ὄφεις. Οὐδὲν γὰρ δεήσει με ταῦτα 2
ἔχοντα· πάντα γὰρ ἐμὰ ἦν ἂν τὰ τῶν ἄλλων, ἐς ὅσον ἀνοίγειν τε τὰς θύρας ἐδυνάμην, καὶ κοιμίζειν τοὺς φύλακας, καὶ ἀθέα-
τος εἶναι εἰσιών. Εἰ δέ τι ἐν Ἰνδοῖς, ἢ Ὑπερβορέοις θέαμα πα- 3
ράδοξον, ἢ κτῆμα τίμιον, ἢ ὅσα ἐμφαγεῖν ἢ πιεῖν ἡδέα, οὐ μεταστειλάμενος, ἀλλ᾽ αὐτὸς ἐπιπετόμενος, ἀπέλαυον ἁπάντων ἐς κό-
ρον. Καὶ ἐπεὶ γρὺψ, ὑπόπτερον θηρίον, ἢ φοῖνιξ, ὄρνεον ἐν Ἰνδοῖς 4
ἀθέατον τοῖς ἄλλοις, ἐγὼ δὲ καὶ τοῦτο ἑώρων ἂν, καὶ τὰς πηγὰς δὲ τὰς Νείλου μόνος ἂν ἐπιστάμην, καὶ ὅσον τῆς γῆς ἀοίκητον, καὶ εἴ τινες ἀντίποδες ἡμῖν οἰκοῦσι, τὸ νότιον τῆς γῆς ἡμίτομον ἔχοντες.
Ἔτι δὲ καὶ ἀστέρων φύσιν, καὶ σελήνης, καὶ αὐτοῦ ἡλίου, ῥᾳδίως 5
ἂν ἔγνων, ἀπαθὴς ὢν τῷ πυρί. Καὶ τὸ τῶν πάντων ἥδιστον, αὐθημερὸν ἀγγεῖλαι ἐς Βαβυλῶνα τίς ἐνίκησεν Ὀλύμπια· καὶ ἀριστήσαντα, εἰ τύχοι, ἐν Συρίᾳ, δειπνῆσαι ἐν Ἰταλίᾳ, εἰ δέ τις ἐχθρὸς εἴη, ἀμύνασθαι καὶ τοῦτον ἐκ τοῦ ἀφανοῦς, πέτρον ἐμ-
βαλόντα τῇ κεφαλῇ, ὡς ἐπιτετρῖφθαι τὸ κρανίον. Τούς τε αὖ φί- 6
λους εὖ ποιεῖν, ἐπιχέαντα κοιμωμένοις αὐτοῖς τὸ χρυσίον. Καὶ

μγ΄. Ἄλλος τις) Δακτύλιος δηλ.

— Καὶ ὅτῳ) Καὶ μηδένα εἶναι ᾧ μὴ ποθ. Τὸ δὲ ὅτῳ ἀντὶ τοῦ ᾧ Ἀττικῶς· τέσσαρα δὲ ταῦτα ὅτου, ὅτῳ, ἀντὶ τῶν, οὗ, ᾧ, καὶ ὅτων, ὅτοις, ἀντὶ τῶν, ὧν, οἷς· τὸ δὲ τοι ὅτοις σπανιώτατον.

— Καὶ ἀνὰ στόμ.) Καὶ οὐκ εἰμὶ ἐν τῷ στόματι αὐτῶν ἐπαινούμενος.

— Ὑπὲρ τὸν Ὑάκ. ἢ Ὕλ. ἢ Φάων. τὸν Χ.) Οὗτοι οἱ κάλλιστοι τῶν ὅσοι ἐγένοντο πώποτε· ὅθεν καὶ Ὑακίνθου μὲν ἤρα Ἀπόλλων, ὃν καὶ δισκεύων ἀπέκτεινε. Ὕλα δὲ Ἡρακλῆς, ὃν αἱ Νύμφαι ἥρπασαν μετὰ τῶν Ἀργοναυτῶν ἐπὶ τὸ χρυσοῦν δέρας πορευόμενον. Φάωνος δὲ ἡ Σαπφὼ, ἡ ἐν τοῖς ἰδίοις ἔπεσιν, ὅσον αὐτῆς ἦν τὸ πρὸς αὐτὸν πάθος μέγα, ἐπιδεξαμένη.

μδ΄. Ὥσπερ οἱ ὄφεις) Οἱ γὰρ ὄφεις κατ᾽ ἐνιαυτὸν ἀλλάσσουσι τὸ παλαιὸν αὐτῶν δέρμα ἀνανεούμενοι· ὡς ἔστιν εὑρεῖν, ἔνθα ὄφεις εἰσὶ, πολλὰ ὄφεων δέρματα.

2. Ταῦτα ἔχοντα) Τοὺς δακτυλίους δηλ. τούτους οὓς ηὐξάμην.

4. Καὶ τοῦτο) Τὸ ὄρνεον τὸν φοίνικα δηλ. περὶ οὗ Ἡρόδ. Β. [illegible]

5. Αὐθημερὸν ἀγγεῖλαι [illegible] τὸ Βα[illegible].

Ε.Γ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὴν εἴ τις ὑπερόπτης εἴη, ἢ τύραννος πλούσιος ὑβριστὴς, ἀρά-
μενος αὐτὸν ὅσον ἐπὶ σταδίους εἴκοσιν, ἀφῆκα φέρεσθαι κατὰ τῶν
7 κρημνῶν. Τοῖς παιδικοῖς δὲ ὁμιλεῖν ἀκωλύτως ἂν ἐξῆ, εἰσιόντα
ἀθέατον, κατακοιμήσαντα ἅπαντας, ἄνευ ἐκείνων μόνων. Οἷον δὲ κά-
κεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν ἔξω βέλους ὑπεραιωρού-
μενον, καὶ εἰ δόξειέ μοι προσθέμενος ἂν τοῖς ἡττημένοις, κοιμίσας
τοὺς κρατοῦντας, νικᾷν παρεῖχον τοῖς φεύγουσιν, ἀναστρέψασιν
8 ἀπὸ τῆς τροπῆς. Καὶ τὸ ὅλον, παιδιὰν ἐποιούμην ἂν τὸν τῶν ἀν-
θρώπων βίον, καὶ πάντα ἐμὰ ἦν, καὶ θεὸς ἐδόκουν τοῖς ἄλλοις.
9 Τοῦτο ἡ ἄκρα εὐδαιμονία ἐστὶ, μήτε ἀπολέσθαι, μήτε ἐπιβου-
λευθῆναι δυναμένη, καὶ μάλιστα μεθ' ὑγείας ἐν μακρῷ τῷ βίῳ.

με'. Τί ἂν αἰτιάσαιο, ὦ Λυκῖνε, τῆς εὐχῆς; — Λυκ. Οὐδὲν,
ὦ Τιμόλαε· οὐδὲ γὰρ ἀσφαλὲς ἐναντιοῦσθαι ἀνδρὶ πτηνῷ, καὶ ὑ-
πὲρ μυρίους τὴν ἰσχύν· πλὴν ἀλλὰ ἐκεῖνο ἐρήσομαί σοι, εἴ τινα ἄλ-
λον εἶδες ἐν τοιούτοις ἔθνεσιν, ὅσα ὑπερέπτης, γέροντα ἤδη ἄνδρα,
οὕτω παρακεκινηκότα τὴν γνώμην, ἐπὶ δακτυλίου μικροῦ ὀχού-
μενον, ὄρη ὅλα κινεῖν ἄκρῳ τῷ δακτύλῳ δυνάμενον, ἐπέραστον
2 πᾶσι, καὶ ταῦτα φαλακρὸν ὄντα, καὶ τὴν ῥῖνα σιμόν; Ἀτὰρ εἰπέ
μοι καὶ τόδε, τί δήποτε οὐχ εἷς δακτύλιος ἅπαντα ταῦτα δύ-
ναταί σοι, ἀλλὰ τοσούτους περιημμένος βαδιῇ, τὴν ἀριστερὰν
πεφορτισμένος κατὰ δάκτυλον ἕνα; μᾶλλον δὲ ὑπερπαίει ὁ ἀριθ-
3 μὸς, καὶ δεήσει καὶ τὴν δεξιὰν συνεπιλαβεῖν. Καί τοι ἑνὸς τοῦ
ἀναγκαιοτάτου προσδεῖ, ὃς περιθέμενόν σε παύσει μωραίνοντα, τὴν
4 πολλὴν ταύτην κόρυζαν ἀποξύσας. Ἢ τοῦτο μὲν καὶ ὁ ἐλλέβορος
ἱκανὸς ποιῆσαι, ζωρότερος ποθείς.

μς'. Τιμ. Ἀλλὰ πάντως, ὦ Λυκῖνε, καὶ αὐτὸς εὔξῃ τι ἤδη
ποτὲ, ὡς ἂν μάθωμεν οἷα αἰτήσεις ἀνεπίληπτα καὶ ἀνέγκλητα,
2 ὁ συκοφαντῶν τοὺς ἄλλους. — Λυκ. Ἀλλ' οὐ δέομαι εὐχῆς ἐγώ.
Ἥκομεν γὰρ ἤδη πρὸς τὸ Δίπυλον, καὶ ὁ βέλτιστος οὑτοσὶ Σάμ-
μιππος, ἀμφὶ Βαβυλῶνα μονομαχῶν, καὶ σὺ, ὦ Τιμόλαε, ἀρι-
στῶν μὲν ἐν Συρίᾳ, δειπνῶν δὲ ἐν Ἰταλίᾳ, καὶ τοῖς ἐμοὶ ἐπιβάλ-
3 λουσι καὶ σταδίοις κατεχρήσασθε, καλῶς ποιοῦντες· ἄλλως τε
οὐκ ἂν δεξαίμην πλουτήσας ἐπ' ὀλίγου, ὑπηνέμιόν τινα πλοῦτον,

---

7. Ἂν ἐξῇ) Εἴη ἂν δυνατόν.
— Οἷον δὲ κἀκεῖν.) Μέγα δὲ καὶ ἐκεῖνο ἦν τὸ ἐπισκοπεῖν.

με'. 2. Παρακεκινηκότα τὴν γνώμην) Οἷον μωραίνοντα.

2. Τὴν ἀριστερὰν πεφορτισμένος) Ἐπὶ γὰρ τῆς ἀριστερᾶς δακτυλιοφοροῦσι.

3. Τὴν πολλὴν ταύτην κόρυζαν) Κατὰ μεταφορὰν τὴν ἀηδίαν σημαίνει· τὸ γὰρ ἐκ τῆς ῥινὸς ῥέον ἡ κόρυζα, ἀηδίας πρόξενον.

4. Ὁ ἐλλέβορ.) Χόρτος πικρὸς, ὃν πίνοντες οἱ μαινόμενοι, θεραπείαν τινὰ τοῦ πάθους εὕρισκον.

μς'. 3. Ψιλὴν τὴν μάζαν) Χωρὶς δηλ. τινὸς προσφαγίου.

ἀνιαθῆναι μετ' ὀλίγον ψιλὴν τὴν μάζαν ἐσθίων, οἷα ὑμεῖς πείσε-
σθε μετ' ὀλίγον, ἐπειδὰν ἡ εὐδαιμονία μὲν ὑμῖν, καὶ ὁ πολὺς πλοῦ-
τος οἴχηται ἀποπτάμενος· αὐτοὶ δὲ καταβάντες ἀπὸ τῶν θη-
σαυρῶν τε καὶ διαδημάτων, ὥσπερ ἐξ ἡδίστου ὀνείρατος ἀνεγρό-
μενοι, ἀνόμοια τὰ ἐπὶ τῆς οἰκίας εὑρίσκετε· ὥσπερ οἱ τοὺς βα- 4
σιλεῖς ὑποκρινόμενοι τραγῳδοὶ, ἐξελθόντες ἀπὸ τοῦ θεάτρου, λι-
μώττοντες οἱ πολλοὶ, καὶ ταῦτα πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες
ἢ Κρέοντες. Λυπήσεσθε οὖν, ὡς τὸ εἰκὸς, καὶ δυσάρεστοι ἔ- 5
σεσθε τὰ ἐπὶ τῆς οἰκίας, καὶ μάλιστα σὺ, ὦ Τιμόλαε, ὁπόταν δέῃ
σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ τῆς πτερώσεως διαλυθείσης, κα-
ταπεσόντα ἐκ τοῦ οὐρανοῦ χαμαὶ βαδίζειν, ἀπολέσαντα τοὺς δα-
κτυλίους ἐκείνους ἅπαντας ἀποῤῥυέντας τῶν δακτύλων. Ἐμοὶ δὲ 6
καὶ τοῦτο ἱκανὸν, ἀντὶ πάντων θησαυρῶν, καὶ Βαβυλῶνος αὐτῆς,
τὸ γελάσαι μάλα ἡδέως ἐφ' οἷς ὑμεῖς ἠτήσατε, τοιούτοις οὖσι, καὶ
ταῦτα φιλοσοφίαν ἐπαινοῦντες.

## Η'. ΝΙΓΡΙΝΟΣ Η ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΗΘΟΥΣ. (*)

### Ἑταῖρος, Λουκιανός.

ά. Ἑταῖρ. Ὡς σεμνὸς ἡμῖν σφόδρα, καὶ μετέωρος ἐπανελή-
λυθας; Οὐ τοίνυν προσβλέπειν ἡμᾶς ἔτι ἀξιοῖς, οὐθ' ὁμιλίας με-
ταδίδως, οὔτε κοινωνεῖς τῶν ὁμοίων λόγων, ἀλλ' ἄφνω μεταβέ-
βλησαι, καὶ ὅλως ὑπεροπτικῷ τινι ἔοικας· ἡδέως δ' ἂν παρὰ σοῦ 2
πυθοίμην, ὅθεν οὕτως ἀτόπως ἔχεις, καὶ τί τούτων αἴτιον; — Λουκ.
Τί γὰρ ἄλλο γε, ὦ ἑταῖρε, ἢ εὐτυχία; — Ἑταῖρ. Πῶς λέγεις; —

4. Καὶ ταῦτα) Πάσχουσιν, ὄντες πρὸ ὀλίγου Ἀγαμέμνονες ἢ Κρέοντες.

5. τῷ Ἰκάρῳ) Δαίδαλος γὰρ ἐν Λαβυρίνθῳ, ὃν αὐτὸς κατεσκεύασε, μετὰ τοῦ υἱοῦ Ἰκάρου παρὰ Μίνωος τοῦ βασιλεύοντος Κρήτης εἱρχθεὶς, πτέρυγας ἑαυτῷ τε καὶ τῷ υἱῷ ἐπήξατο, κηρῷ κολλάψας. Ἴκαρος δὲ, ἅτε παῖς, ὑπὲρ τὸ δέον ὑψωθεὶς, τοῦ κηροῦ τακέντος, ἔπεσεν εἰς τὴν θάλασσαν τὴν παρ' αὐτοῦ καλουμένην Ἰκαρίαν.

6. Καὶ ταῦτα) Αἰτεῖτε.

(*) Νιγρῖνος ἐπιγέγραπται ὁ διάλογος οὗτος, ὅτι Νιγρῖνόν τινα Ῥωμαῖον φιλόσοφον Πλατωνικὸν ὑποτίθησι τὰς ἐν αὐτῷ καλὰς ὑποθήκας λέγοντα, ἀπὸ τῆς Ἑλλάδος ἐπιστρέψαντα εἰς Ῥώμην· πρὸς ὃν καὶ ἐπιστολὴν ἔγραψε, πέμψας τὸν λόγον τοῦτον. Περὶ δὲ φιλοσόφου ἤθους· ἐπειδὴ περὶ ἠθῶν ὑποτίθησιν ἀληθῶς φιλοσόφου ἀνδρὸς ἰδίων, ὡς οὐκ ἄν τις ἄλλος. Ταῦτά τοι καὶ ἕκαστος οὐ μόνον τῶν τῷ φιλόσοφος ὀνόματι σεμνύνεσθαι ἐφιεμένων, ἀλλὰ καὶ τῶν τῷ ἄνθρωπος καλεῖσθαι, μὴ αἰσχυνομένους τῷ ὀνόματι, τὰς ὑποθήκας ταύτας ἐν βάθει καρδίας ἐγγράψαι ὀφείλουσιν.

ά. Ὡς σεμνὸς) Τὸ Ὡς θαυμαστικὸν μετ' ἐπιτάσεως.

— Τῶν ὁμοίων λόγων) Ὁμοίους λόγους ἐνταῦθα λέγει τοὺς ὁμοίας ἐλευθερίας καὶ καταστάσεως πανταχόσε ἐχομένους.

— Ὑπεροπτικῷ) Σύνηθες τοῖς Ἕλλησι τὰ ἀπευκταῖα διὰ τοῦ Ἔοικα κολάζειν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Ὑπεροπτικὸς εἶ, φησὶν, ὑπεροπτικῷ τινι ἔοικας.

2. Ἡδέως δ' ἂν ... πυθοίμην) Καὶ τοῦτο τρόπος τοῦ λέγειν· παρ' ἡμῖν δὲ τὸ τοιοῦτον ἐκφράζεται· παρακαλῶ, εἰπέ μοι, ὅθεν καὶ τλ.

— Καὶ τί) Ἐλλείπει, ἐστί.

— Τί γὰρ ἄλλο) Καὶ τί ἄλλο ἐστὶ τὸ αἴτιον, ὦ ἑταῖρε, ἢ εὐτυχία· ἔνθα ὁ Γὰρ ἑτοιμότητά τινα δηλοῖ, περιττὸς κείμενος ἄλλως.